ΘΡΗΝΟΘΡΙΑΜΒΟΣ,

Sive

Liber *JOB* Græco carmine redditus.

Autore J. D. *Cantabrigienſi,* *S. T. B.*

S. Hieron. epiſt. ad Paulinum.

Job exemplar patientiæ, quæ non myſteria ſuo ſermone complectitur? proſâ incipit, verſu labitur, &c.

CANTABRIGIÆ,
Apud *Tho. Buck,* & *Rog. Daniel,* celeberrimæ Academiæ typographos. 1637.

PAtientiam JOBI audivimus, & finem Domini vidimus : TRIUMPHUM *ſcilicet in ævum duraturum. Hoc igitur doctiſsimi autoris carmen quo utrunque proſequitur, digniſsimum cenſemus quod in lucem eruditorum hominum, & typis expreſſum, & amicorum elogiis laudatum prodeat.*

Tho. Comber, *Procan.*
Samuel VVard.
Tho. Bainbrigg.
Rich. Sterne.

MVSEVM BRITAN NICVM

¶ ILLUSTRISSIMO
ET
HONORATISSIMO DOM.
D. HENRICO,

Comiti *Hollandiæ*, Baroni *Kenſingtoniæ*, Academiæ *Cantabrigienſis* Cancellario, *aureæ Periſcelidis Equiti*, & *Regiæ Majeſtati à conſiliis ſecretioribus.*

PAtere, Illuſtriſſime Comes, ut ſub patrocinio Tuo in lucem prodeat Jobus *pallio* & *metro* donatus. Qui olim *diei ſuo maledixit*, obſtetricante jam favore Tuo amat naſci: nec eum flere pœnitet, dum in Honoris Tui ſinum ſuas lacrymas fundat. Quanquam quid lacrymas, quid *elegos* loquor? Siquidem ſub nobiliſſimi *Herois* ductu militans *heroico pede* incedit, nec jam *threnos* agit, ſed *triumphos*. Tantum eſt, Honoratiſſime Domine. Quem Academia noſtra vigilantiſſimum Cancellarium, quem Muſæ omnes Mæcenatem optimum, quem univerſa denique literatorum gens fautorem integerrimum jactat & admiratur, eundem & hujus quantulicunque operis patronum ſubmiſſè implorat

Honori tuo humillimè devotus,
JACOBUS DUPORT.

¶ Lectori.

ALiquot jam anni effluxerunt, humaniſſime Lector, ex quo tria quatuórve poſtrema Jobi capita Græco carmine vertenda ſuſcepi; idq; tantùm ſpeciminis gratiâ, nihil minùs in animo habens quàm integram libri metaphraſin poetico filo pertexere. Memini autem me tunc temporis, partim ſtyli majeſtate ſublimitatéque captum, (quis autem cothurnus cum divina hac grandiloquentia comparari poſſit?) partim naturalis philoſophiæ dulcedine delinitum, (& quis Ariſtoteles cum hac hiſtoria animalium conferri auſit?) exinde primùm occaſionem ſumpſiſſe transferendi extremam hujus libri partem, quæ in meteoris animalibúſq; depingendis ferè tota conſumitur. Poſtquam verò ad res ſacras animum appuli, tum demum non in cortice verborum hæſi, ſed ad ſenſûs medullam penetravi, & ab * Hagar ad Saram, ab ancillis ad Penelopen, à Rhetorica & Philoſophia ad Theologiam oculos converti. Etenim præter phraſeως elegantiam etiam materiæ ſublimitatem, præter eloquentiæ flumina (dicam? an grandiloquentiæ fulmina?) etiam abyſſos Spiritûs, & divinitatis fulgur, denique præter arcana naturæ etiam ſacroſancta religionis myſteria, quibus iſte liber utrâque (quod aiunt) paginâ mirificè refertus eſt, demirari cœpi. Exinde magis magiſque me libido inceſſit, ut quod antea ſtudium in aliqua hujus libri particula impenderam, idem in toto collocarem. Cùm enim aptiſſimus mihi viſus eſt, utpote dramaticus cùm ſit & inter metricos Scripturæ libros ſemper habitus; tum etiam ob inſignem uſum & præſtantiam digniſſimus, in quo exprimendo poeticæ meæ facultatis (quæ, ſi qua ſit, ſen-

* Clem. Alex. ſtrom. 1.

tio

tio quàm ſit exigua) nervos intenderem. Fuerunt ante me, qui in hoc pulvere deſudarunt, & vel Evangelium vel Pſalmos Græcis conſtrinxerunt pedibus; Apollinarius, & Nonnus; Deus bone, quanti viri! quorum ego nè corrigiam calcei. *Egóne nihili homuncio ut cum illis heroibus me conferendum putem? Tantum abſum ab ea arrogantia, quantum illi à candore qui ità de me ſuſpicantur. Satìs mihi ſupérque fuerit eorum premere veſtigia, licèt* non paſſibus æquis. *Equidem non inficior me ab ineunte jam ætate poeſeωs, præſertim Homericæ, fuiſſe ſtudioſum. Quare ſiquid in ea profecero, volui id totum, quantulumcunque ſit, humillimè ad aram Dei deponere, & ſi vel duo minuta lucratus fuero, in ærarium ejus conjicere: Volui etiam leviora ſtudia, lanam meam caprinam tabernaculo offerre: volui ſacrificare* Iſaacum *meum, etiam juvenilia &* ludicra *(ſic enim ** Philo *ἀλληγορεῖ) Deo conſecrare. Hoc animo fretus metaphraſin hanc primùm aggreſſus ſum, & demum ad umbilicum perduxi; ſperans fore, ut leuidenſis hæc opella noſtra aliquod ſaltem apud eruditos punctum ferat; utpote φιλολόγοις non inſuavis, θεολόγοις non inutilis, φιλομούσοις non injucunda, φιλοθέοις non infructuoſa. Integros ſæpe verſus (ut jam de operis ratione aliquid dicam) ex poetarum rege tranſtuli; imò nec ullam ferè vocem libenter adhibui, quam in Homero non inveni: Adeóque me non pudet iſtius ſive imitationis, ſive alluſionis, ut* centonem *quàm quidvis ſcripſiſſe mallem. Interim verò Poetæ veſtigiis preſſiùs inſiſtens, neſcio quomodo ethnicorum numinum, etiam in ſacro poemate, mihi uſum permiſi; quanquam & hoc rariſſimè, & quidem (ni fallor) bis tantummodo: ut cùm* panem [illegible] *voco Δημήτερος ἀκτὴν, & in deſcriptione puerperii Εἰλειθυίας introduco; quæ duo vocabula ingenuo*

* Libr. de Abrahamo.

 lectori

lectori minùs diſplicebunt, cùm Homerico ſtylo me ſcripſiſſe meminerit. Nec illud, opinor, quiſpiam jure damnabit, quòd Deus Opt. Max. dicatur Πατὴρ ἀνδρῶν τε θεῶν τε, *phraſi ab Homerico Jove deſumptâ; præſertim cùm id ſenſu catholico exponi poſſit,* Pater hominum & angelorum : *nam & angeli in ſacra ſcriptura non ſemel* dii *appellantur. Pro materiæ ratione vel laxavi ſtylum vel contraxi: & cùm alibi adeò, ubi res ſinit, fuſior ſum, ut* περιφράζειν *videar potiùs quàm* μεταφράζειν, *tum verò maximè in* ζωγραφίᾳ *illa ad finem libri, quæ primam huic operi anſam dedit; præſertim ubi de Equo, Elephante, & Balæna agitur, paulo liberiori pede excurri, nec tamen (uti ſpero)* ὑπὲρ τὰ ἐσκαμμένα. *Anglicanam noſtram verſionem ad amuſſim ſecutus ſum: in qua tamen ſi difficultas aliqua vel obſcuritas occurrebat, (& occurrebat nonnunquam) conſului tum Græcam interpretationem Septuaginta ſeniorum, tum maximè Hebraicam veritatem, à qua nè aberrarem, (& equidem puto me à genuino textûs ſcopo haud ſæpe deflexiſſe) geminum ſenſum* ἄδ᾽ ὅπῃ *conjunxi, textualem, & marginalem. Hebraiſmos rarò retinui, plerunq; Helleniſmis commutavi. Poſtquam magnam libri partem abſolviſſem, venit mihi in manus metaphraſis doctiſſimi viri A. Aurelii, ſtylo eleganti & planè Virgiliano contexta, quâ quidem non inficior me mediocriter eſſe adjutum. Tantum verò abfuit, ut proptereà penſi filum in medio abrumperem, quaſi anticipationis quâdam larvâ deterritus, ut majori potiùs alacritate in incepto pergerem. Grata enim mihi videbatur æmulatio, quâ Homerus & Virgilius, hic Latinorum, Græcorum ille, poetarum principes inter ſe certarent, uter ad res divinas aptiùs accommodari poſſet, uter meliùs diſceret* προσωπίζειν, *uter** εἰς ἡμετέρων θελας αὐλαῖ *libentiùs migraret. Cedunt fa-*

* Euſtath. ἰλιάδ. α.

teor,

teor, imò longè cedunt Ὁμηρόκεντρα *hæc Virgilianis illis centonibus; at hoc* παρῳδοῦ, *non* ποιητοῦ *vitium eſſe contendo: nec enim ipſe Scaliger à me extorquebit, ut Maroni Mæonides herbam porrigat. Quanquam verò iis præſertim qui* ἑλληνοχριστιανίζειν *didicere, uſui futurum ſit hoc quicquid eſt opuſculi, adjeci nihilominus Latinam interpretationem ad verbum, ſtylo ſanè rudi & impolito: quæ tamen ſi minùs Latinæ paraphraſeως loco eſſe poſſit, at aliquam ſaltem lucem ad illuſtrationem libri ſatis in ſe obſcuri etiam Græcè neſcientibus allatura ſit. Habes, humaniſſime Lector, & conſilii mei pariter & operis rationem. Tu verò conatibus noſtris fave, & hanc opellam æqui bonique conſule.*

Errata ſic emendentur.

Pag. 4. *lin.* 13. *lege* ἠρτιμύετο. 6. 28. Χαλδαῖοι. 7. 28. Chald. 8. 28. ἠγείροντο. 22. 24. πάλινα. 38. 8. Ἐστήν. 48. 14. σάρκινοι. 50. 11. Γόμφοισιν. 58. 26. ἄγαγεν. 106. 6. Ὀρφανικὸς. 17. Τῆλε. 120. 11. δηθά. 13. *deletâ interrog. repone colon.* 124. 8. Οὐδενὸς. 23. Οὕτα. 135. 25. gemellæ. 138. 4. σιγαλόεν. 146. 26. ἀγάστονον. 154. 17. Οὐρανοῦ. 166. 25. αὐτάρ. 192. 1. φερέσφορ. 193. 26. geſtantia. 195. 29. habuit. 196. 5. τά, τε. 198. 12. ἀποπλαγχθ. 206. 23. γόμφ. -- μοχλοῖς. 217. 24. feci. 221. 26. vidit. *pro* ἐνθάδε, *lege ubique* ἔνθα δὲ.

¶ In librum Job verſibus Homerocentricis pulcherrimè concinnatum ab *amiciſſimo & Græcæ linguæ peritiſſimo viro*, J. Duport.

SEnex Homere, perge; nè veſtigiis
Diffide cæcis: Euge, nactus es ducem,
Quem non Apollo nec corona virginum
Sequi recuſet: tutiore jam gradu,
Pióque ſocco, nuſpiam offendes pedem.
At tu, poeta, quas mereris, accipe
Laudéſque, laureáſque, qui certamine
Felice carmen temperas Homericum
Vel entheæ Davidis æmulum lyræ.
Ut æſtuoſi amarus humor æquoris
Lapſu ſilenti per meatus invios
Telluris imæ ſerpit, & ſalſuginem
Deponit arctis hæſitantem anguſtiis;
Emenſus indè reciprocantes tramites
Ebullit alti montis arduo jugo,
Lymphis amœnis læta findens paſcua:
Sic pervetuſtæ gurgitem poeticæ
Tu ſtringis in repando, amabili ſinu,
Tuiq; puris ingenî canalibus
Omnem coercens ethnici guſtum ſalis
Ripâ ſeveriore cogis alveum,
Et dulcè percolata fundis flumina.
Jacobe, macte: gratias tibi refert
Uterque, Jobus, & Poeta; carmine
Donatus ille, & iſte ſanctimoniâ.

Ἠυτοσχεδίασε *Robertus Crichton*,
Orator Academiæ,
& Græcus Profeſſor.

Te

TE * genus & proavi, Chariteſq;, novémq; ſorores
Te, *Duporte*, canunt; téque immortalis Iobus,
Quem facit Argolicum Uzæa de gente poetam
Vis ſermone potens tua, flexanimique diſerto
Ore ſoni, & ſanctæ facundia plurima linguæ.
Ille bonus vates dormitans ſemper Homerus,
Hinc ſemper, per te didicit myſteria vulgo
Vera loqui; metuens recitare piacula plebi
Vaniloqua, aut ſacris dans exponenda Camœnis.
Nempe videns cæcum perducit Iobus Homerum
Ad caſtos Chriſti latices fontémque Sionis,
Eluat ut tabum infelix, & lumina tingat.

Abr. wheelocus, Arab. Prof. & Bibliothecar. Ac.

* *Nempe avus illi, egregium Eccleſiæ lumen,* R. Coxus, *Epiſ. Elienſ.* & *pater,* Jo. Duport, *eximius vir, Græcarum inprimis & Hebr. Literarum callentiſſimus, necnon Coll. Jeſu Præſ. integerrimus.*

ΠΗλείδην τὸ πάλαι, καὶ Ἕκτορος ἀνδροφόνοιο
Ἀλκὴν ἠδὲ μόρον, Πριάμοιό τ' ὀϊζυροῖο
Κῆρας ἄειδε κακὰς κλαίων περίπυστος Ὅμηρος.
Νυνὶ δ' ἥρωα γλυκαρῆς μεγάθυμον ἀοιδῆς
Μοῦσά γε Μαιονίδου κλείει βαρύποτμον Ἴωβον
Θεσπεσίη· θείην γὰρ φρεσὶν εἱμένος ἀλκὴν
Ἥρως ἄρχοντα στυγερὸν βροτολοιγὸν ἐνίκα,
Καὶ γὰρ πολλὰ παθὼν, ταλασίφρων ὥσπερ Ὀδυσσεὺς
Ἴφθιμος ἀνέτλη τά τε κήδεα, ἠδὲ τ' ὀϊζύν.

G. Blancks, Coll. Caii & Gonv. Soc.

In Jobum, carmine Homerico à J.D. *expreſſum.*

QUis te, Calliope, & tuas ſorores
Pellexit Helicone de nivoſo,
Atque Auſitidis hoſpites arenæ,
Per tentoria fuſca Madianis,
Greges per ſitientis Iſmaelis,
Veri oracla Dei docet ſonare?
Sacris ſcilicet entheus loquelis,
Idem Cecropio madens liquore,
Duportus, veteres novem ſorores

Secum

Secum ſqualida teſqua in Iſmaelis
Pergens ducere, Græciæ loquacis
Mendaces jubet ejerare nugas,
Et ſolatia de dolore triſti
Jobo fundere, dum pius ſevero
Indulget patientiam flagello.
Gaude, Mæonide: tibi negata
Donat lumina Jobus, & deaſtras
Oblitum veteres, jubet tueri
Unius jubar uſquè veritatis;
Et plenum Domini ſeverioris,
Sacro fundere nectar è Sione:
Ut primævi Orientis exul, indè
Pervadat pietas in Occidentem;
Et raram numeris tuis propinet
Extremis patientiam Britannis.

Herbertus Thorndike, Coll. Sacr. & Indiv. Trin. Socius.

Ad Jobum.

SCilicet Iliadem toleraſti, Jobe, malorum:
Qui tua fata canit, quis niſi Homerus erit?

Ad Poetam.

Cap. 29. 15. C*Æco lumen eram, claudo pes*, dixit Iobus:
Tu *lucem* Jobo das ſimul, atque *pedes*.

Henr. Hutton, Coll. Jeſu Socius.

NIl metuas æquis ab amicis, ſecula Jobi
Et planctus Græcis fundere docte modis:
Non ut vexeris *cenſurâ*, aſtamus amici,
Sed capias *laudis* præmia juſta tuæ.

At

At, ô poeta, quas tibi jam laureas,
Aut quas coronas nectimus? quæ præmia
Tanti laboris? quæve vota, quas preces
Pro vate fundimus pio? Nempe, ut tibi
Secunda Jobi ſors ſit, aut ſecundior;
Utrique par cataſtrophe: tandem, bona
(Nè plura dicam) duplicentur omnia.

H. Fern, S. T. B. Coll. Trin. Socius.

Οὐχ ἥμαρτεν Ἰώβος ἑαῖς ἐνὶ θλίψεσι φράζων,
Οὐδὲ σὺ ἥμαρτες τὸν μεταφραζόμενος·
Οὐδέτερος γ᾽ ἀφαμαρτοεπής· σὺ δὲ πρὸς Ἰώβον,
Ὡς ἐστὶ πᾶσι Θεῷ πρὸς Ἰώβος ἔφυ.

R. Bulkeley, Coll. D. Johan. Socius.

Εἰς μεταφραστήν.

Αἴαντος μὲν ἄγαλμα τέλει, ἠΰς τε, μέγας τε·
Ἠΰς Δύσποτμος, καὶ μάλα, μακρὸς ἐών,
Φιλόσοφος, ῥήτωρ, ποιητὴς, θεολόγος, Ἕλλην,
Φιλολόγος, κῆρυξ, ἐν κριτικοῖσι κριτής
Παντοίαις ἀρεταῖσι κεκασμένος· ἀλλ᾽ ἐν ἕκαστον,
Ὡς φαίης ἑτέρων ἐχέ τι πλεῖον ἰδεῖν.
Εὐτράπελος παρὰ πάντα κατ᾽ αἶσαν τὸν ἄρ᾽ Ἰώβον
Ὡς εὖ κ᾽ εὐτροχάλως ἔτρεψεν. Εὖ δὲ πράττοι.

In metaphraſin.

Librum vel ipſo tam poeticum natu
Helicone rurſus tingis, ut Jobi ſtrages
Numeroſa verſu duplicetur ſic Græco.
Nec indecori ac plumbei pedes ſcenâ
Divinitatis ambulant cothurnatâ;
Superbientes ambiunt ſacrum munus,
Et in hac Homerus pagina cœlum ſpirat,

Et Achille ſpreto, cum viro duplici, laudat
Quem tantus ordo cladium ſenſit juſtum.
Duporte, fide; Zoilum time nullum,
Criticóſve, tu ſuperſtes: aſt olim mundo
Nomen relinques, quod tuebitur librum.

Jo. Sherman, A. M. Coll. Trin. Socius.

Εἰς Ἰώβου μεταφρασὶν, τὸν φίλον μου
καὶ Μουσῶν ἄριστον.

Εὖ μάλ' ἔειπε φίλους δειλοὺς παραιλήτορας εἶναι
Οἰκτερὸς Ἰώβος ἑούς· σοὺς, φίλε, πῶς γε καλεῖς;
Εὖ μάλα καὶ ἡμᾶς δειλοὺς καλέσαιμι ποιητάς,
Εἰ γὰρ συγκρίνῃς σὺν μέλος ἡμετέροις.
Ἀλλ' οὔ τω φαιδρὸς μεγάλως ἥμαρτεν Ἰώβος,
Ἦμαρ ἐν ᾧ γενόμην μήποτε φέγγος ἔχοι.
Ἶσον ἁμαρτήσεις, εἰ ὁρᾶν φάος ἠελίοιο
Κωλύσῃς ταύτην, ὦ Ἰάκωβε, βίβλον.

Jo. Booth, S. T. B. C. C. C. Socius.

In Metaphraſin Jobi verſibus plurimùm ὁμοιοκατάρτρωσι,
S. K. *carmen poſthumum.*

Quis novus hic, cujus pietas, patientia Jobum
Agnoſcunt, vox, & vultus, Homere, tuus?
Quis nuper Seraphim tetigit ſummi ora poetæ,
Aut docuit veri dicere verba Dei?
Ars tua, chare Jacobe, tua eſt induſtria, gentis
Thuribula impuræ quæ facit eſſe ſacra.

Seth. Ketlewell, Coll. Trin. nuper Socius.

Amico ſuo chariſſimo J. D. hanc ejus Græcam, eámq; Homericam Jobi verſionem gratulatur.

Quem priùs horruimus merſum caligine librum,
Nunc juvat aſſiduâ ſollicitare manu.

Nectar

Nectar & ambroſiam ſpirat, tenebriſque fugatis
Candidus electro lucidiore nitet.
Non nunc Hebrææ prærupta ſilentia linguæ,
Non interponit ſphinx inopina moras.
Seu ſtant Hebræi, puro cum gurgite, fontes;
Sive fluunt, venâ liberiore fluunt.
Miratur ſeſe linguarum Græcia matri
Auxiliatrices ſuppoſuiſſe manus:
Miratur Jobus reſerata ænigmata; mendax
Mæonides, veram ſe didiciſſe fidem:
Hic ſanctæ gaudet myſteria fundere linguæ;
Alter Cecropio carmina tincta favo.
Felix interpres! Judæus & Ethnicus ore
Et didicere tuo, & dedidicere loqui.

Ed. Hyde, A. M. Coll. Trin. Socius.

POſtera ſors Jobi longè auctior; undique amici
Dona ferunt, offers munus & ipſe tuum:
Quæ dederant illi, periere; numiſmata, gemmæ;
At tuus æternùm Θρηνοθρίαμβος erit.

Thom. Lant, S. T. B. Coll. Jeſu Socius.

PIeris & Pietas libro ſociantur in uno:
Quàm grande eſt, vatem! quàm magìs, eſſe pium!
Qui modò pronus humi jacuit, jam currit Iobus;
Dæmona queîs fugiat, nunc habet (ecce!) pedes.
Qui flevit prorſo, vorſo canit ore; fluitque
Divite jam venâ, qui modò pauper erat.
Quàm ſimiles ſibi ſunt Muſa, & Patientia; Homeri,
Et Jobi! quid non illa, vel illa poteſt?

COæleſtes radios ut cernere poſſet Homerus,
Deerant Iobi lumina;
At pedibus Græcis ut currere poſſet Iobus,
Deerant Homeri carmina.

Ecce

Ecce pedes alter jam commodat, alter ocellos;
Opémque præbent mutuam.

Guil. Clotterbook, A. M. Coll. Trin.

Proſopopœia Jobi.

SUperba Mauſolea me non opprimunt,
Nec marmorum effigiata moles poſteris
Imaginis noſtræ refert artificium.
Sed me virûm per ora præpeti vehit
Pennâ, Deo dictante qui ſcripſit, ſcatens
Ægyptiorum gentiúmque dotibus
Linguíſque, pulſu conſtitutus numinis,
Orbis, meíque fidus actuarius.
Arcana cujus puncta, non capacia
Pedum per aures molliter cadentium,
Si delicati tranſeant, ut abdita, &
Legenda ſolùm litteratis tineis;
En prodeo, Graiæque ſuppellectilis
Dives, poténsq; nobilis facundiæ;
Rhodii ſenis ſocco levi elegantior,
Et cui cothurnati locum dant Attici,
Faſcéſq; (vix jam carior ſuâ nuce)
Submittit Ilias. Bonis hoc defuit
Reduplicatis, terſus eloquentiâ
Dolor ut levaret ſe ſuâ. Tragœdiæ
Meæ ſuperſtes jam triumpho ſeriò,
Et uſquè ſic dolere lubens gaudeo.
——Quin tu, piæ
Poeta venæ, macte, felix ingenì:
Duint tibi Dii pro tuis laboribus
Jobi triumphantis, precor, dupla omnia.

Ed. Rainbow, S.T.B. Coll. Magd. Socius.

Οὐκ-

Οὐκέτ' Ἴωβος ἔχει κονίῃ πεπαλαγμένον ἔσθος·
Οὐ σποδὸν ἄν τις ἴδοι, ἢ πίνον, οὐδὲ πύον·
Ἀμφὶ δὲ νῦν πλυνθεὶς παμποίκιλον ἕσσε χιτῶνα,
Τὸν δ' εὖ δαίδαλλεν Μαιονίδαο ῥαφίς.
Ὧδε γάρ οἱ (μέγα θαῦμ') οὐκ ἐν φρεσὶ μέμβλετ' Ὀδυσσεὺς,
Ἕκτορος οὐ μνήμην, οὔτ' Ἀχιλῆος ἔχει·
Ἱρὰ δὲ μυηθεὶς παλαιπενθέα μέλπειν Ἴωβον,
Λησάμενός τε θεῶν, νῦν ἕνα ἦσε Θεόν.
Βάσκ' ἴθι οὖν προφθάσσ', ἢ δείδιθι, ὅστις ἀοιδὸς
Ὅς κέ σε μωμήσῃ, Ζωΐλου οὔνομ' ἔχει.

Anton. Scatergood, A.M.T.C.

JObus in adverſo dum ſqualet pulvere, amici
Inviſunt, nimio & ſtupent dolore;
Hunc tu Mæonio dum pingis carmine, amici
Mirantur, nimio & ſtupent amore:
Attamen haud nimio; quin tota Academia neſcit
Te laudare ſatis, ſatiſve amare.
Ja. Leek, S. T. B. Coll. S. Petri Socius.

GRæca fides Romana jubet me carmina: quenquam
Poſt te ſcripturum Græca, Duporte, putas?
Poſt quem Mæonides ſileat redivivus, & ipſe
Plato, nec auderet Jupiter ipſe loqui.
Quantus Iobini * ſcriptor fuit ille caballi!
Quàm major tanti tu metaphraſta libri!
Sic olim è cuneis Philadelphica turba * novenis
Bis quater Uzæum condecorâre ducem.
Moyſe fit Hebræus, te Græcus: Fœdus utrunque;
Illius, antiquum; ſed tua lingua, novum.
Jam ſi, *Panari Pater inclyte, nomina Jobi
Perdiderint titulos, quo reparentur, habent.
Tollantur lites de tempore: conſtat Homerum
A Jobo per te ſic didiciſſe loqui.

* Th. Vincentius, T. C. depinxit Equum Jobi carmine epico.
* LXXII Interpretes.
* Epiphan. Panar.
יאב
יובב

Quale

Quale opus, & quanti ſudoris! quanta poetæ
Gratia, cum ſancto ſic potuiſſe loqui!
Sic Deus & Vates; numeros ſuperaddit uterque,
Ut ſic bis Jobi poſtera fata beet.
Th. Riley, Coll. Trin. Socius.

TU mala ſic Jobi, bona tu ſic reddis Homeri,
Ilias hinc illinc ut videatur opus.
Tu Jobo ſuperaddis opes, tu carmen Homero;
Ditior ut calamo fiat uterque tuo.
Livor, at hunc, moneo, nolito laceſſere Jobum:
Hic quoque, quo vincat dæmona, carmen habet.
Henr. Vintener, Coll. Regal. Socius.

Τρεῖς κοῦραι τοῦ Ἰώβῳ ἔσαν Χαρίτεσσιν ἐΐσαι,
Κεζίη, Ἰεμιμή τε, καὶ ὁπλοτάτη Κερεναππούχ·
Εἰ δέ τις ἐς τὴν βίβλον ἑὰς βαλέῃσιν ὀπωπάς,
Ἀμβροσίην διζεὺς ἀοιδὴν ἥπου ἐφεύροι,
Οὐ τρεῖς εἰν ἐπέεσσιν, ἢ ἐννέα, ἀλλά νυ Μούσας
Νηρίθμους ἂν ἴδοι, Χαρίτων τ᾽ ἀπερείσια φῦλα.
J. Coke, Coll. Trin. Socius.

ERat pergravis illa prolis olim
Gentilis Keturæ querela Jobi
Cladium medio gementis æſtu,
Se refrigerio, ſodaliúmque
Cœtu deſtitui. Querela noſtra
Hæc eſt atque eadem: relictus adſum
Et ſolus, querulus canorus adſum,
Reponi numero petens tuorum,
Cuſtos fœderis integer vetuſti.
Doctorum fore teſtium ſupremum
Longæ poſcimus annulum catenæ.
Joh. Pullen, S. T. B. Coll. Magd. Socius.

10

ΘΡΗΝΟΘΡΙ'ΑΜΒΟΣ,

ΚΕΦ. α'.

1 Χώρη τις πολύολβος ἔην Ἀράβων ἐνὶ γαίῃ,
Οὔθαρ Ἰδουμαίης· Αὐσῖτιδά μιν καλέοντο.
Ἔσκε τις ἐνθάδε δῖος ἀνήρ, ἠΰς τε μέγας τε,
Τῷ μὲν Ἰώβος ἔην κλυτὸν οὔνομα καὶ περίπυστον·
Ὃς περιέσσατο δίκην, ἐπεί οἱ νόος ἦε θεουδής·
Ἐκ δὲ κακοῦ ἔκλινε, καὶ αἴσιμα πάντα φύλαξε.
2 Τούτου καὶ δέκα παῖδες ἐνὶ μεγάροισι γεγάασιν·
Ἑπτὰ μὲν υἱέες ἔσαν, τρεῖς ἠΰκομοι δὲ θύγατρες.
3 Μυρία δὲ κτήνη ἔχεν, ὑψιλόφους τε καμήλους,
(Αἱ τρισχίλιαι αὐτῷ ἐν οὔρεσι βουκολέοντο
Θήλειαι τοκάδες) καὶ ἑπτηχίλια μῆλα,
Ἠδὲ βοῶν πεντηκόσια ζυγὰ εὐρυμετώπων,
Ἠδέ τ' ὄνους πεντηκοσίας, καὶ πάμματα πολλά.
Ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος οὔ τινι τόσση
Ἀνδρῶν ἡρώων, οἵ τ' ὀλβιστοί περ ἐόντες
Ἠελίου φαέθοντος ἐπ' ἀντολίῃσιν ἔναιον.
4 Τοῦ δ' υἱέες δαίνυντο κρέ' ἄσπετα, καὶ μέθυ ἡδύ·
Ἤματος κατὰ τάξιν ἑοῦ ἐνὶ οἴκῳ ἕκαστος
Δαίνυτο, καὶ τρισσὰς ἐπὶ δαῖτα κάλεσσεν ἀδελφάς.
5 Αὐτὰρ ὅτ' εἰλαπίνης μελιηδέος ἤματα πάντα
Ἠὼς εὐπλόκαμος τέλεσεν, περὶ δ' ἔτραπον
ὧραι,

Νωλεμέως

Sive, liber JOB Græco carmine redditus.

CAP. I.

Regio quædam opulenta erat Arabum in terra,
Ubertima pars Idumææ; Auſitidē eam vocârunt.
Erat quidā ibi divinus vir, amplúsq; magnúsq;,
Cui Jobus erat inclytum nomen & celebre:
Qui coluit juſtitiam, quippe illi mens erat pia,
A malo autem declinavit, & æqua omnia ſervavit.
Hujus inſuper decem liberi in ædibus nati ſunt;
Septem quidem filii erant, tres verò bene-comatæ filiæ.
Complurima autem pecora habuit, & elata-colla-habentes
(Quæ ter-mille ei in montibus paſcebantur, (camelos,
Fœminæ fœtæ) & ſepties-mille oves,
Necnon boum quingenta juga latas-frontes-habentium,
Item aſinas quingentas, & poſſeſſiones amplas.
Certè enim ei ſubſtantia erat ingens; nec cuiquam tanta
Virorum heroum, qui etiam locupletiſſimi exiſtentes
Solis ſplendentis ad ortus habitant. (dulce;
Hujus autem filii epulabantur carnes multas, & vinum
Suo die & ordine ſua in domo unuſquiſque
Epulabatur, & tres ad convivium vocabat ſorores.
Poſtquam verò convivii dulcis dies omnes
Aurora pulchros-crines-habens compleverat, & circumver-
tebantur horæ,

Νωλεμέως ἐκάθηρε πατὴρ θοινήτορας υἷας,
Πάντα κατὰ μοῖραν, καὶ ἅμ' ἠοῖ φαινομένηφιν
Ἱερά τε ῥέζεσκε, καὶ ἐξαίτους ἑκατόμβας
Ἀθανάτῳ, ἤν που τις ὑπέρβιῃ καὶ ἀμάρτῃ,
Ἠὲ Θεὸν κακὰ εἴπῃ ἀγλωσσείῃσι νόοιο.
Ὣς ὅγ' ἔθων ἔρδεσκε διαμπερές· δίδιε γὰρ αὐτὸς
Ὁπποῖαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι.
Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις
Ἐν πάντεσσ' ἔργοισι, μάλιστα δὲ δαιτὸς ἐν ὥρῃ·
Οἶνος γάρ τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.
6 Φῦλα δ' ἐπουρανίων μακάρων ἀγορήνδ' ἐκάλεσσεν
Οὐλύμπου Βασιλεὺς, πυκινὴν δ' ἠρτύετο βουλήν.
Ἐμμαπέως δ' ἄρα κεῖνοι ἀολλέες ἠγερέθοντο·
Καὶ Σατανᾶς ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,
Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Θυμολέων, βλοσυρὸς, τυκτὸν κακὸν ἀνθρώ-
ποισι.
7 Τὸν δ' ὡς οὖν ἐνόησε Πατὴρ ἀνδρῶν τε θεῶν τε,
Ὥς ἄρα μιν φώνησεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνό-
μαζεν,
Ὦ Σατανᾶ, πόθεν εἶς; Ὁ δ' ἀμείβετο μισάνθρωπος,
Πολλὰ μάλα πλαγχθεὶς, περί τε χθόνα πολλὰ πα-
τήσας,
Πολλὰ πλανῶν, καὶ πολλὰ πλανώμενος εἰλή-
λουθα.
8 Τὸν δ' αὖτε προσέειπε Πατὴρ, ἐρέεινε δὲ μῦθον,
Δαιμόνι', ἦ ποτ' Ἴωβον, ἐμὸν θεράποντα, νόησας;
Ὅς μοι φίλτατός ἐστιν ἐπιχθονίων ἀνθρώπων·
Οὐδέ τίς οἱ παρόμοιος ἐνὶ μερόπεσσι φύτλῃ·
Ὃς περίεστι δίκην, ἐπεί οἱ νόος ἐστὶ θεουδής,
Ἐκ δὲ κακοῦ ἔκλινε, καὶ αἴσιμα πάντα φύλαξεν.
9 Τὸν δ' ἀπαμειβόμενος προσέφη Δαίμων δολόμητις,
Φθισήνωρ Σατανᾶς, ὀλοφώια δήνεα εἰδώς,
Ἦ ῥά νυ μὰψ καὶ προῖκα σέβει Θεὸν οὗτος Ἴωβος;
10 Οὐ γὰρ ἐσοῦ περὶ οἴκου ἐΰσκιον ἕρκος ἔθηκας

Παντα-

Continuò purgavit pater convivas filios,
Singulos ritè, & ſimulac aurora illuxit,
Hoſtias ſacrificavit, & eximia holocauſta
Immortali, an fortè quis *filiorum* transgreſſus fuerit & peccâ-
Aut Deo maledixerit præ inſolentia animi. (rit,
Ità hic pro more ſuo faciebat jugiter: novit enim ipſe
Quales juvenis viri lapſus ſunt.
Mobilior quidem animus, imbecille verò conſilium
In omnibus rebus, præſertim verò convivii tempore:
Vinum enim impellit ſapientem etiam valde cantare,
Et aliquod verbum emiſit, quod non-dictum *ſit* melius.
Gentes autem cœlitum beatorum ad concionem vocavit
Olympi Rex, prudentem verò ſtruebat conſultationem.
Confeſtim verò illi frequentes congregabantur;
Et Satanas unà cum iis ibat, præ impetu ferociens,
Audax, facinoroſus, qui non curabat ſcelera patrans,
Animum-leonis-habens, torvus, naturâ-comparatum malum hominibus.
Illum quamprimum aſpexit Pater hominúmq; deorúmq;,
Sic utiq; eum allocutus eſt, verbúmq; dedit, & nomine compellavit,
O Satana, unde venis? Reſpondit autem hominum-oſor,
Poſtquam multùm admodum vagatus terram huc & illùc perambulavi,
Multúmq; *alios* erroribus-implicans, & multùm *ipſe* erroribus-jactatus, adſum.
Illum rurſus allocutus eſt Pater, interrogavítq; ſermonem;
O infelix, nunquid Jobum meum ſervum conſiderâſti?
Qui mihi chariſſimus eſt terreſtrium hominum,
Nec quiſquam ei par in humano genere;
Qui colit juſtitiam, quippe mens ei eſt pia,
A malo autem recedit, & æqua omnia ſervat.
Illi autem reſpondens dixit Dæmon aſtutus,
Hominum-perditor Satanas, viris-exitialia conſilia ſciens,
Num fruſtra & gratìs colit Deum iſte Jobus?
Annon circa domum ejus bene-umbroſam ſepem poſuiſti

Πανταχόθεν, περί τε κτεάνων, περί τ' ἀμφί τε κοίτης
Σῆσι φιλοφροσύνῃσιν ἐΰρροος τὰ ἃ ἔργα,
Ὄλβος θ' οἱ πλοῦτός τε ἀέξεται ἢ ἐνὶ γαίῃ.
11 Ἀλλ' ἄγε νῦν, ὀλίγον περ ἐπίψαυε κτεάτεσσι,
Καὶ τόθ' ἁμαρτεπής, φανερός τέ σε πολλὰ κακ' εἰπὼν
Ἔσσεται. Ὥς ὡς εἰπὼν ἀπεπαύσατο νηλέϊ θυμῷ.
12 Τὸν δ' ἀπαμειβόμενος προσέφη Θεὸς ἀγκυλομήτης,
Νῦν, ἰδέ, σοῖς ἐπὶ χερσὶν ἐπίτρεπον ὅσσα περ εἶχεν·
Ἀλλὰ μόνον γ' αὐτοῖο βαρείας χεῖρας ἀφέξεις.
Ὣς ἄρ ἔειπε Πατήρ, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Βῆ ῥ' ἴμεναι Σατανᾶς, κακὰ ᾗ φρεσὶ μήδετο ἔργα.
13 Ὣς γὰρ Ἰώβου παῖδες, ἄμ' υἱές θυγατέρες τε,
Πρεσβυτάτου σύμπαντες ἐνὶ μεγάροισιν ἀδελφοῦ
Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
14 Ἤματι τῷ λυγρός τις ὁ ἄγγελος ἦλθεν Ἰώβῳ,
Δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
Ζευγνυμένων τε βοῶν, καὶ ὄνων περὶ βοσκομενάων,
15 Τοὺς μὲν ἐφορμηθέντες ἀνηρείψαντο Σαβαῖοι,
Δούλους δ' ἐργασίωνας ἀπέκτανον ὀξέϊ χαλκῷ·
Οἶος ἐγὼ λιπόμην, λυγρὸς δέ τοι ἄγγελος ἦλθον.
16 Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε τ' ἄγγελος ἄλλος
Ἔστη ἐνὶ προθύροισι, λέγων, ὅτι θεσπιδαὴς φλὸξ
Οὐρανόθεν καταβᾶσ' ὄϊάς τ' αὐτούς τε νομῆας
Πάγχυ μάλ' ἐκπρῆσεν, δήϊον μένος ἀστεροπῆος·
Οἶος ἐγὼ λιπόμην, λυγρὸς δέ τοι ἄγγελος ἦλθον.
17 Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε ἄλλος ἐπῆλθε,
Δάκρυ' ἀναπρήσας, ὀλοφυρόμενός τ' ἔπος ηὔδα,
Καλδαῖοι τρισσοὺς μὲν ἐκαρπώσαντο φάλαγγας,
Ῥίμφα δ' ἐπαΐξαντες ἀφαιρήσαντο καμήλους,
Αὐτοὺς δὴ καὶ δμῶας ἀπέκτανον ὀξέϊ χαλκῷ·
Οἶος ἐγὼ λιπόμην, λυγρὸς δέ τοι ἄγγελος ἦλθον.
18 Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε δ' ἄγχι παρέστη
Τέταρτος (αἰεὶ γάρ τε κακὸν κακῷ ἐστήρικτο·
Ὡς ὅτ' ἐπασσύτερα σφιν ἐπ' ἀλλήλοισι κέχυνται
Πόντου κύματα μακρά, περὶ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλο)
Δάκρυα δ' ἔκβαλε θερμά, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν,

Ὤ, μοι

Undiquaq;, circáq; poſſeſſiones, & circumcircà ipſum ?
Tuâ benevolentiâ proſperè ſuccedunt ejus res:
Facultates etiam ejus & divitiæ augentur ſuæ in terra.
Verùm agè nunc, vel tantillùm tange ejus poſſeſſiones,
Et tum vaniloquus, tibique coràm multùm maledicens
Erit. Ille ſic fatus deſtitit immiti animo. (tans,
Cui viciſſim reſpondens dixit Deus obliqua-conſilia-agi-
Jam vide, tuis manibus permiſi omnia quæ habet;
Duntaxat verò ab ipſo graves manus abſtinebis.
Sic dixit Pater, durum autem ſermonem mandavit.
Perrexit ire Satanas, mala auté in animo meditabatur opera.
Dum enim Jobi liberi, filii pariter & filiæ,
Primogeniti ſimul omnes in ædibus fratris
Epulabantur, neq; animus egebat epulis æqualibus;
Die illo triſtis quidam nuncius venit ad Jobum
Lacrymas tepidas fundens, dixitq; nuncium luctuoſum:
Arantibus bobus, & aſinis juxtà paſcentibus,
Hos quidem cum impetu irruentes abſtulerunt Sabei,
Famulos autem operarios interfecerunt acuto ferro:
Solus ego relictus ſum, triſtíſque tibi nuncius veni.
Nondum totus dictus erat ſermo, quando nuncius alius
Stetit in veſtibulo, dicens, quòd divinitus-accenſa flamma
Cœlitus delapſa, ovésque ipſóſque paſtores
Penitus exuſſit, infeſta vis fulguratoris:
Solus ego relictus ſum, triſtiſque tibi nuncius veni.
Nondum totus dictus erat ſermo, quando alius ſupervenit
Lacrymas cum ſuſpiriis effundens, lugénsq; ſermonem dixit,
Caldæi tres ſanè inſtruxerunt turmas,
Violenter autem ingruentes abſtulerunt camelos,
Ipſos quinetiam & ſervos interfecerunt acuto ferro:
Solus ego relictus ſum, triſtiſque tibi nuncios veni. (tit
Nondum totum dictum erat verbum, quando propè adſti-
Quartus (ſemper enim malum malo fulciebatur;
Sicut quando crebri ſibi invicem ſuperfuſi ſunt
Ponti fluctus longi, antè quidem alius, alius verò poſt)
Lacrymas verò emiſit calidas, vocémq; lugubrem edidit:

Ὤ μοι ἄμυμον Ἰὼβ διοτρεφὲς, ἦ μάλα λυγρῆς
Πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
Εἷως γὰρ τεοὶ υἷες ἐΰζωνοί τε θύγατρες
Εἵατο πρεσβυτάτοιο ἐνὶ μεγάροισιν ἀδελφοῦ,
Σίτου καὶ οἴνοιο τεταρπόμενοι φίλον ἦτορ·
19 Δὴ τότ' ἐπισπέρχουσα κακὴ ἀνέμοιο θύελλα
Ὑψερεφὲς μέγα δῶ τύπτ' ἐρημόθεν ἀΐξασα·
Τοῦ δ' ἁρμοὺς καὶ πλευρὰ διέσχισεν ἶς ἀνέμοιο
Πυθμενόθεν· τὸ δ' ἐπ' ἠϊθέοις πέσε, τοὶ δ' ὀλέκοντο·
Οἶος ἐγὼ λιπόμην, λυγρὸς δέ τοι ἄγγελος ἦλθον.
20 Ὣς φάτο. Τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Αὐτίκα δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤσχυνε δαΐζων,
Δαιδάλεον δ' ἔρρηξε περὶ στήθεσσι χιτῶνα·
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Ὀψὲ δ' ἀναπνεύσας ἁδινοῦ ἐξῆρχε γόοιο,
Δεινὸν ὀδυρόμενος, θεοστέπτορα δ' ἔννεπε μῦθον.
21 Ὤ μοι ἐγὼ, γυμνόν με μογοστόκος Εἰλείθυια
Ἐξάγαγε προθύρωσδε, καὶ ἠελίου ἴδον αὐγάς·
Γυμνός τ' ἐξαῦτις γαίης ὑπὸ γαστέρα δύσω.
Δῶκε Θεὸς, καὶ ἀφεῖλ', ἐπεὶ οἱ κράτος ἐστὶ μέγιστον·
Τοῦ γ' ἐὸν εἰς αἰῶν' ὄνομα κλυτὸν εὐλογέεσθω.
22 Ἦ ῥα, καὶ οὐχ ἥμαρτε, Θεοῦ οὐ μέμφετο μύθῳ,
Οὐδέ τί οἱ προέηψεν ἀτασθαλίην ἀλεγεινήν.

ΚΕΦ. β'.

1 Ἄψ δὲ Θεὸς μακάρων εἰς οὐρανὸν ἀστερόεντα
Βουλὴν συγκάλεσσεν· τοὶ δ' ἠγείροντο μάλ' ὦκα,
Καὶ Σατανᾶς ἅμα τοῖσι, κακὰ φρεσὶ βυσσοδομεύων.
2 Τὸν δ' ἐρέεινε Πατὴρ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον·

Ὦ Σα-

Heu inculpate Jobe nobiliſſime, certè valde luctuoſum
Audies nuncium, quod utinam non accidiſſet!
Dum enim tui filii & bene-cinctæ filiæ
Sedebant primogeniti in ædibus fratris,
Cibo & vino exhilarantes charum cor;
Jam tum ingruens pernicioſa venti procella
Excelſam magnam domum percuſſit ex eremo cum impetu
Ejus autem compages & latera diſcidit vis venti (ruens:
Funditus, eáq; ſuper adoleſcentes cecidit, iique perierunt:
Solus ego relictus ſum, triſtiſq; tibi nuncius veni.
Sic dixit. Illum verò doloris nubes obtexit atra;
Statim autem in pulveribus magnus latè porrectus
Jacebat, charis verò manibus cæſariem dehoneſtavit diſcin-
Variegatam autem rupit circa pectora tunicam: (dens,
Diu verò illum ſilentium verborũ occupavit, ipſius verò oculi
Lacrymis oppleti ſunt, liquida verò ei hæſit vox.
Seróque tandem reſpirans vehementem orſus eſt luctum,
Graviter lamentans, religioſum verò locutus eſt ſermonem.
Hei mihi! nudum me obſtetrix Lucina
Edidit in lucem, & ſolis vidi radios;
Nudúſque rurſum terræ uterum ſubibo. (mæ:
Dedit Deus, & abstulit, quandoquidem vires ejus ſunt maxi-
Quocirca & ejus in æternum nomen celebre benedicatur.
Dixit, & non peccavit, nec Deum incuſavit oratione,
Neque ei imputavit inſcitiam gravem.

CAP. II.

ITerum verò Deus cœlitum in cœlum ſtellatum
Concilium convocavit: illi autem congregabantur quàm celeriter,
Et Satanas unà cum illis, mala in mente profundè cogitans.
Illum autem interrogavit Pater, quaſſavit autem longum Olympum:

O Sa-

Ὦ Σατανᾶ, πόθεν ἤλθες ἀμήχανε; τίπτε δέ σε χρ
Τὸν δὲ δολοφρονέων ἠμείβετο μισάνθρωπος,
Πολλὰ μάλα πλάγχθην, περί τε χθόνα πᾶσαν ὁδεύ
Πολλῶν δ' ἀνθρώπων ἴδον ἄστεα, καὶ νόον ἔγνων
Νῦν δὲ καὶ ἀθανάτων ἱερὸν πολίεθρον ἱκάνω.
3 Τὸν δ' αὖτε προσέειπεν Ὀλύμπιος ἠδεῖῃ φωνῇ,
Οἶδ' ὅτι πολλὰ κατ' ἄστε' ἀλώμενος ἐνθάδ' ἱκάνεις
Ἀλλ' ἄγε, μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Δοῦλον ἐμὸν τὸν Ἴωβον ἀμύμονα φῶτα νόησας;
Ὅς με μάλιστα τίει χαμαὶ ἐρχομένων ἀνθρώπων,
Ἀμπλακίην δ' ἀλέεινε, καὶ ἐν φρεσὶν αἴσιμα ᾔδη,
Ἣν δὲ δικαιοσύνην κατ' ἀπεὶξ ἔχει, ἀχνύμενός περ,
Πάσχων τ' ἄλγεα λυγρὰ κακορραφίῃσι τεῇσι.
4 Τὸν δ' ἄρ ὑποβλήδην προσέφη Δαίμων δολόμητις,
Φθισήνωρ Σατανᾶς, ὀλοφώϊα δήνεα εἰδώς·
Ἀντὶ χρωτὸς χρῶτα, καὶ ἀντὶ βίοιο ἅπαντα
Δώσει ἀνήρ· Οὐ γὰρ ψυχῆς ἀντάξιον ἄλλο.
5 Εἰ δ' ἔθεν ἕλκε' ἐόντος ἐπιγράβδην περ ἐφάψῃ,
Καὶ μάλα περ λίγδην σάρκας τε καὶ ὀστέα βάλλων,
Λαβρεστόρης τότε γ' αἶψα φανήσεται ἀπλοέπης τε,
Νεικείων σ' ἀναφανδὰ χολωτοῖσιν ἐπέεσσι.
6 Τὸν δ' ἀπαμειβόμενος προσέφη Θεὸς ἀγκυλομήτης,
Νῦν ἴδε, σαῖς ἐπὶ χερσὶν ἐπέβαπον ἠδέ μιν αὐτόν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μὴ θάνατον δ' ἀγόρευ', ἐπεὶ οὔ τί σε πεισέμεν οἴω·
Οὐ γάρ πω οἱ μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
Ὣς ἄρ ἔειπε Πατὴρ, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
7 Βῆ ῥ' ἴμεναι Σατανᾶς, κακὰ δὲ φρεσὶ μήσατ' Ἰώβῳ.
Ψωραλέης πληγῇσι, καὶ ἕλκεσιν οὖτα μιν αἰνοῖς
Ἐς πόδας ἐκ κεφαλῆς· φθίνυθεν δ' οἱ ἐπ' ὀστεόφι χρώς
Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευραῖς τε καὶ ὤμους
Αἵματι φοινικόεσσαι ἀνέδραμον ἔνθα καὶ ἔνθα.
8 Αὐτὸς δὲ χρόα μυδαλέον κεράμῳ κνίζεσκεν
Ἥμενος ἐν κονίῃσι, πύον δ' ἀπεμόρξατο χερσί.

9 Καὶ

O Satana, unde veniſti improbe? quonam tibi opus eſt ?
Illi doloſe-cogitans reſpondit hominum-oſor,
Multùm vagatus ſum, terrámque totam circumambulavi,
Multorum autem hominum vidi urbes, & mentem novi:
Nunc verò etiam ad immortalium ſacram civitatem venio.
Illum verò rurſus allocutus eſt Olympius ſolitâ voce,
Novi quòd multas per urbes errans huc accedis:
Verùm agè, mihi iſtud dic, & verè narra,
Servum meum Jobum inculpatum virum conſiderâſti ?
Qui me plurimùm honorat humi repentium hominum,
Peccatúmq; devitat, & in animo juſta novit,
Suámque juſtitiam mordicus retinet, æger licèt,
Patiensq; dolores funeſtos malis machinationibus tuis.
Hunc autem interpellato ſermone allocutus eſt Dæmon aſtutus,
Hominum-perditor Satanas, viris-exitialia conſilia faciens;
Pro pelle pellem, & pro vita omnia
Dabit vir: Non enim animæ æquivalens *eſt* aliud *quicquam*.
Quòd ſi eum ſanum exiſtentem vel leviter tetigeris,
Et vel ſtrictim carnes & oſſa ferias;
Rabula tum ſtatim apparebit, temerariúsque in loquendo,
Objurgans te propalam iracundis verbis.
Huic autem reſpondens dixit Deus obliqua-conſilia-agitans,
Jam ecce, tuis manibus permiſi etiam & illum ipſum.
Aliud autem tibi edicam, tu autem in animo verſa tuo;
Nè de morte loquaris, quandoquidem non te perſuaſurum opinor:
Nondum enim illi fatale mori & mortem oppetere.
Sic dixit Pater, durum autem ſermonem mandavit.
Contendit ire Satanas, mala autem in mente machinatus eſt Jobo.
Scabioſis plagis, & ulceribus ſauciavit eum ſævis
A capite ad calcem; computruit autem ejus ſuper oſſa caro:
Crebræ autem vibices per latera & humeros
Sanguine rubentes extiterunt hinc & indé.
Ipſe autem cutem purulentam teſtâ ſcalpebat
Sedens in pulvere, ſaniémque abſterſit manibus.

Ὦ Σατανᾶ, πόθεν ἤλυθες ἀμήχανε; τίπτε δέ σοι χρειώ;
Τὸν δὲ δολοφρονέων ἠμείβετο μισάνθρωπος,
Πολλὰ μάλα πλάγχθην, περί τε χθόνα πᾶσαν ὁδεύσας,
Πολλῶν δ᾽ ἀνθρώπων ἴδον ἄστεα, καὶ νόον ἔγνων
Νῦν δὲ καὶ ἀθανάτων ἱερὸν πτολίεθρον ἱκάνω.
3 Τὸν δ᾽ αὖτε προσέειπεν Ὀλύμπιος ἠθάδι φωνῇ,
Οἶδ᾽ ὅτι πολλὰ κατ᾽ ἄστ᾽ ἀλώμενος ἐνθάδ᾽ ἱκάνεις·
Ἀλλ᾽ ἄγε, μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Δοῦλον ἐμὸν τὸν Ἴωβον ἀμύμονα φῶτα νόησας;
Ὅς με μάλιστα τίει χαμαὶ ἐρχομένων ἀνθρώπων,
Ἀμπλακίην δ᾽ ἀλέεινε, καὶ ἐν φρεσὶν αἴσιμα ἤδη,
Ἣν δὲ δικαιοσύνην καθ᾽ ἀπεὶξ ἔχει, ἀχνύμενός περ,
Πάσχων τ᾽ ἄλγεα λυγρὰ κακορραφίῃσι τεῇσι.
4 Τὸν δ᾽ ὑπόδρ᾽ ὑποβλήδην προσέφη Δαίμων δολό-
μητις,
Φθισήνωρ Σατανᾶς, ὀλοφώϊα δήνεα εἰδώς·
Ἀντὶ χρωτὸς χρῶτα, καὶ ἀντὶ βίοιο ἅπαντα
Δώσει ἀνήρ· Οὐ γὰρ ψυχῆς ἀντάξιον ἄλλο.
5 Εἰ δ᾽ ἔθεν ἄλλως ἐόντος ἐπιγράβδην περ ἐφάψῃ,
Καὶ μάλα περ λίγδην σάρκας τε καὶ ὀστέα βάλλων,
Λαβραγόρης τότε γ᾽ αἶψα φανήσεται ἀπλοεπής τε,
Νεικείων σ᾽ ἀναφανδὰ χολωτοῖσιν ἐπέεσσι.
6 Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Θεὸς ἀγκυλομήτης,
Νῦν ἴδε, σαῖς ἐπὶ χερσὶν ἐπέβαλον ἤδη μιν αὐτόν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μὴ θάνατον δ᾽ ἀγόρευ᾽, ἐπεὶ οὔτι σε πεισέμεν οἴω·
Οὐ γάρ πω οἱ μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
Ὣς ἄρ᾽ ἔειπε Πατὴρ, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε.
7 Βῆ ῥ᾽ ἴμεναι Σατανᾶς, κακὰ δὲ φρεσὶ μήσατ᾽
Ἰώβῳ.
Ψωραλέῃς πληγῇσι, καὶ ἕλκεσιν οὖτά μιν αἰνοῖς
Ἐς πόδας ἐκ κεφαλῆς· φθίνυθεν δ᾽ οἱ ἐπ᾽ ὀστεόφι χρώς·
Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
Αἵματι φοινικόεσσαι ἀνέδραμον ἔνθα καὶ ἔνθα.
8 Αὐτὸς δὲ χρόα μυδαλέον κεράμῳ κνίζεσκεν
Ἥμενος ἐν κονίῃσι, πύον δ᾽ ἀπομόρξατο χερσί.

O Satana, unde veniſti improbe? quonam tibi opus eſt ?
Illi doloſe-cogitans reſpondit hominum-oſor,
Multùm vagatus ſum, terrámque totam circumambulavi,
Multorum autem hominum vidi urbes, & mentem novi:
Nunc verò etiam ad immortalium ſacram civitatem venio.
Illum verò rurſus allocutus eſt Olympius ſolitâ voce,
Novi quòd multas per urbes errans huc accedis:
Verùm agè, mihi iſtud dic, & verè narra,
Servum meum Jobum inculpatum virum conſideraſti ?
Qui me plurimùm honorat humi repentium hominum,
Peccatúmq; devitat, & in animo juſta novit,
Suámque juſtitiam mordicus retinet, æger licèt,
Patiensq; dolores funeſtos malis machinationibus tuis.
Hunc autem interpellato ſermone allocutus eſt Dæmon aſtutus,
Hominum-perditor Satanas, viris-exitialia conſilia faciens;
Pro pelle pellem, & pro vita omnia
Dabit vir: Non enim animæ æquivalens *eſt* aliud *quicquam*.
Quòd ſi eum ſanum exiſtentem vel leviter tetigeris,
Et vel ſtrictim carnes & oſſa ferias;
Rabula tum ſtatim apparebit, temerariúsque in loquendo,
Objurgans te propalam iracundis verbis.
Huic autem reſpondens dixit Deus obliqua-conſilia-agitans,
Jam ecce, tuis manibus permiſi etiam & illum ipſum.
Aliud autem tibi edicam, tu autem in animo verſa tuo;
Nè de morte loquaris, quandoquidem non te perſuaſurum opinor:
Nondum enim illi fatale mori & mortem oppetere.
Sic dixit Pater, durum autem ſermonem mandavit.
Contendit ire Satanas, mala autem in mente machinatus eſt Jobo.
Scabioſis plagis, & ulceribus ſauciavit eum ſævis
A capite ad calcem; computruit autem ejus ſuper oſſa caro:
Crebræ autem vibices per latera & humeros
Sanguine rubentes extiterunt hinc & indè.
Ipſe autem cutem purulentam teſtâ ſcalpebat
Sedens in pulvere, ſaniémque abſterſit manibus.

Etiam

9 Καί τ᾽ ἄλοχος συφέλιξεν ὀνειδίοις ἐπέεσσιν·
Ἆ δειλ᾽ ἀνθρώπων, πάντων περὶ κάμμορε φωτῶν,
Νηπύτι᾽, εὐσεβίην τε δικαιοσύνην τε ματαίην
Ἕως πότε μὰψ οὕτω κατέχεις; ἐπεὶ οὐδέ τί σοι χρή.
Ἦ νύ κέ τοι χραισμῇ ἀρετὴ καὶ δεῖμα Θεοῖο;
Ἠὲ καὶ εὐσεβίη τοι ἐπήρκεσε λυγρὸν ὄλεθρον;
Ἀλλ᾽ ἄγε, βλασφήμει, καὶ τέθναθι· τίπτ᾽ ἐπιμίμνεις;
Βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι,
Ἢ δηθὰ στρεύγεσθαι ἐν ἀλγεινῇ κακότητι.
10 Τὴν δὲ μέγ᾽ ὀχθήσας ἀπαμείβετο δῖος ἀκοίτης,
Αἰὲν ἐνὶ στήθεσσιν ἔχων ταλαπενθέα θυμὸν,
Δαιμονίη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Ὦ γύναι, ὡς ἄνοον κραδίην ἔχες, ἢ τάδε βάζεις;
Βλάξ τε καὶ ἠλιθίη, ἐπεὶ οὐ κατὰ μοῖραν ἔειπες.
Ἐσθλὰ μόνον θεόθεν παραδεξόμεθ᾽, οὔποτε λυγρά;
Ὅς δ᾽ ἀγαθόν τε κακόν τε δίδοι· δύναται γὰρ ἅπαντα.
Δοιοὶ γάρ τε πίθοι καταχείαται ἐν Θεοῦ οὔδει,
Δώρων οἷα δίδωσι· κακῶν, ἕτερος δὲ ἐάων.
Ὧ μὲν καμμίξας δώῃ Θεὸς ἀργικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ᾽
ἐσθλῷ.
Ὧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
Καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει.
Ὣς φάτ᾽ ἐΰφρονέων, καὶ οὐχ ἥμαρτε λόγοισιν,
Οὐδέ τι ἀφραδίῃς εἴκων ἀνεμώλια βάζεν.
11 Ἀλλ᾽ ὅτε τρισσοὶ φίλοισι ταλαιπωρεῦντος Ἰώβου
Πάντα μάλ᾽ ἀγγέλλοντο, τάπερ πάθε δῖος ἑταῖρος,
(Ὅσσα γὰρ ὠκά σφι, πλεορέν κακὸν, ἄγγελος ἦλθεν)
Ἀνστάντες κατέβησαν ἑοῦ ἀπὸ οἴκου ἕκαστος.
Πρῶτος ἔην Ἐλιφὰς Θαιμανίτης ὄρχαμος ἀνδρῶν,
Δεύτερος αὖ Βελδὰδ Σαυχαίων ἔξοχος ἄλλων,
Καὶ τρίτατος Σωφὰρ μέγας ἥρως ἐν Ναμαπίταις.
Οἱ μὲν γὰρ ξυνέθεντο φίλον δ᾽ ἱμὲν ἀσχαλόωντα,
Τόν τ᾽ ὀλοφύρεσθαι γοεροῖς ἅμα, καὶ μαλακοῖσι
Παρφάσθαι· Ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου
Πᾶσι μὲν ἀνθρώποισι, μάλιστα δέ τ᾽ ἀχνυμένοισι.

Etiam & uxor ſugillavit probroſis verbis:
Ah miſer hominum, omnes ſupra infortunate viros,
Stolide, pietatémque juſtitiámque inanem
Quamdiu fruſtra adeò retines? quandoquidē non te oportet.
Nunquid tibi profuerit virtus, & timor Dei?
Vel num pietas à te propulſaverit triſte exitium?
Quin agè, blaſphema, & morere: quid adhuc cunctaris?
Melius aut perire ſemel, aut vivere,
Quàm diu torqueri in luctuoſa calamitate.
Huic autem valde indignatus reſpondit divinus conjux,
Semper in pectoribus habens patientem animum,
O bona, quale tibi verbum perrupit vallum dentium?
O mulier, quàm inſulſum cor habes, quæ iſta dicis?
Stolida, & inepta, quandoquidem præter jus & fas locuta es.
Bona ſolummodo à Deo accipiemus, nunquam mala?
Ille autem tam bonum quàm malum dat; poteſt enim omnia.
Duo quippe dolia poſita ſunt in Dei limine, (rum.
Donorum quæ dat; malorum *alterum*, alterum autem bono-
Cui quidem commiſcens dederit Deus celeri-fulmine-armat*,
Interdum quidem in malum ille incidit, interdum autem in bonum:
Cui verò ex malis dederit, *eum* injuriis *omnibus* exponit,
Et ipſum vehemens fames ſuper terram almam exagitat.
Sic dixit bene-cogitans, & non peccavit ſermonibus,
Nec quicquam inſipientiæ cedens vana locutus eſt.
At quando tribus amicis ærumnoſi Jobi
Omnia prorſus nunciabantur, quæ paſſus eſt divinus ſocius;
(Fama enim citò ad eos, alatum malum, nuncia acceſſit)
Surrexerunt, & deſcenderunt ſua à domo unuſquiſque.
Primus erat Eliphas Thamanites, princeps virorum,
Secundus verò Bildad, Sauchæorum præcipuus aliorum,
Et tertius Sophar, magnus heros inter Namatitas.
Hi ſiquidē inter-ſe-pacti ſunt ad amicum ire ægrè-habentē,
Tum ut illum lugerent *verbis* mœſtis, tum ut mollibus
Conſolarentur: Bona autem conſolatio eſt ſodalis
Omnibus quidem hominibus, maximè verò ægris.

12 Τὸν δ' ἔκαθεν θηεῦντο, καὶ ἠγνοίησαν ἰδόντες·
Κλαῖον δὲ λιγέως, χλαίνας δ' ἔρρηξεν ἕκαστος,
Ἀμφοτέρῃσί τε χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
Χεύατο κακκεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον.
13 Ἑπτὰ μὲν ὡς νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ
Ἥμενοι ἐν δαπέδῳ, λίγ' ἐκώκυον ἀμφὶς ἑταίρου·
Οὐδέ τι προσφάσθαι ἔθελον ἔπος, οὐδ' ἐρέεσθαι·
Λίην γὰρ θυμός σφιν ἐνὶ στήθεσσι τέθηπεν,
Ὡς ἴδον ἄτλητόν τε πάθος, καὶ πένθος ἄλα-
στον.

ΚΕΦ. γ'.

1 ΔΗ'Ν δ' ἄνεῳ σύμπαντες ἔσαν τετιηότι θυμῷ·
Ὀψὲ δὲ δὴ μετέειπε πολύτλας δῖος Ἰωβος,
Πυκνὰ μάλα στενάχων, στυγέων δὲ γενέθλιον ἦμαρ
Πολλὰ κατηρᾶτο· κρατερὸν γάρ ἑ πένθος ἀνώγει·
2 Οἰκτρ' ὀλοφυρόμενος, γοερὰς δ' ἐφθέγξατο μύθους·
3 Ἐρρέτω ἄθλιον ἦμαρ ἐν ᾧ με λοχεύσατο μήτηρ·
Νύξ θ', ὅτ' ἐμῷ γενέτῃ δυσάγγελος ἄγγελος εἶπε,
Χαῖρέ μοι ἄττα τέκον, ὠδῖνας ἄλυξεν ἄκοιτις,
Σοί τ' ἄρσεν τέκος ὧδε τέτεν μετὰ παισὶ γυναικός.
Ὡς ἔφατ' ἀγγέλλων· εἴθ' οἱ χάνεν εὐρεῖα χθών.
4 Ὄρφνη καὶ σκότος ἔστω ἀλάμπετον ἦμαρ ἐκεῖνο·
Οὐ μελέτω καθύπερθε Θεῷ, ἄλογον δὲ πελέσθω,
Οὐδὲ μὲν οὔποτ' ἔχοι γλυκερὸν φάος ἠελίοιο,
5 Ἀλλὰ σκιὴν θανάτοιο, καὶ ἀχλυόεσσαν ὀμίχλην·
Ἧκει καὶ νεφέλη αἰεὶ κεκαλυμμένον ἔστω,
Ὡς στυγερὸν, κακὸν ἦμαρ, ἄπυστον, οὐκ ὀνομαστὸν,
Δεινόν τε, δνοφερόν τε, μελάντερον ἠΰτε πίσση
6 Νύκτα δὲ Κιμμέριος ζόφος ἀμφέποι, ἐκ δ' ἐνιαυτοῦ
Μηνῶν ἐξαπόλοιτο, καὶ οὐκ ἐναρίθμιος εἴη·
7 Νὺξ δὲ κακὴ φρικτή, σκοτομήνιος, ἠδὲ [illegible]·

Οὐδὲ

Illum autem à longinquo viderunt, nec cognoverunt intu-
leverunt autem altè, lænámq; rupit unusquiſque, (entes:
Et utriſq; manibus arripiens pulverem atrum,
Fudit ſuper caput, gratioſam autem dehoneſtavit faciem.
Septem ſic diéſq; & noctes continuè ſemper
Sedentes humi, altè lamentati ſunt circa ſodalem,
Nec ullo compellare *eum* voluerunt verbo, nec interrogare:
Valde enim animus ipſis in pectoribus obſtupuit,
Ut viderunt intolerabilémque caſum, & luctum non-obli-
viſcendum.

CAP. III.

DIu autem muti ſimul omnes erant mœrenti animo:
Seróque tandem prolocutus eſt patiens divinus Jobus,
Crebrò admodum ingemiſcens, execrans autē natalem diem
Multùm imprecatus eſt (validus enim ipſum dolor impulit)
Miſerandum in modum lamentans, lugubres autem edidit
ſermones;
Malè pereat infelix dies in qua me enixa eſt mater,
Nóxq;, in qua meo patri infelix nuncius dixit,
Salve mihi venerande amice, partûs dolores evitavit uxor tua,
Tibiq; maſcula proles cecidit inter pedes mulieris.
Sic dixit nuncians: Utinam illi hiâſſet ampla tellus!
Caligo, & tenebræ ſit obſcuræ dies illa;
Nè curæ ſit ſurſum Deo, nullóque in numero habeatur,
Nec unquam habeat dulcem lucem ſolis;
Sed umbram mortis, & ſpiſſas tenebras:
Caligine & nebulâ ſemper obvoluta ſit, (nanda,
Utpote inviſa, malè ominata dies, inauſpicata, non-nomi-
Terribiliſq;, tenebroſáque, nigra velut pix.
Noctem verò *illam* Cimmeriæ tenebræ occupent, & ex
Menſibus pereat, nec in albo *menſium* ſit (anni
Sed nox mala, horribilis, obſcura, & exitioſa:

Nec

Ὀυδέ τις ἐιν αὐτῇ φωνὴν χαρίεσσαν ἀκέοι.
8 Οἱ τόδε δυσφημοῦσι κακὸν, καὶ σχέτλιον ἦμαρ,
Τὴν τ' ὀλοὴν ἅμα νύκτα καταρῴοιντο μέλαιναν,
Οἱ στοναχὴν μέλλουσι, γόον τ' ἀλίαστον ὀρίνειν.
9 Ἀστέρες ἑσπέριοι λιποφεγγέες εἶεν ἐκείνῃ,
Μήτε φάος λαμπρὸν, μήτ' αἰγλήεσσα σελήνη·
Οὔτέ ποτ' ὄρθρον ἴδοι, οὔτ' ἂρ τερψίμβροτον ἠῶ·
10 Οὕνεκα μητρείης γαστρός μοι ἀνῷγε πυλῶνας,
Οὐδ' ἄσβεστον ἐμοῖς ἄχος ὀφθαλμοῖσιν ἀπηύρα.
11 Τίπτε μοι οὐ τάφος ἔπλε δυσαμμόρῳ ἔνδοθι γαστρός;
Ἤλυθον ἐκ νηδύος· ὡς ὤφελον αὐτόθ' ὀλέσθαι.
12 Ὤ μοι μῆτερ ἐμὴ, τί νύ μ' ἔτρεφες αἰνὰ τε-
κοῦσα;
Τίπτ' οὐκ ἐκβέβληκας, ἐπεὶ τέκες ἤδη ἄποτ-
μον;
Τίπτε δέ μ' ἀρτιγενῆ, καὶ ἔτι πνείοντα τόκοιο,
Γούνασιν οἷσι λαβοῦσα δυσώνυμος ἔφθατο μαῖα;
Ἔῤῥε τετλάθλιε μαῖα μογοστόκε· τίπτε με μαζὸς
Νηπίαχον θήλασσε, καὶ ἔτρεφε τυτθὸν ἐόντα;
Ὡς μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ,
Οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
Ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
13 Νῦν ἂν ἀτάρβητος γαίης μαλακῷ ἐνὶ κόλπῳ
Κείμην ἀσφαλέως τε, καὶ ἀτρέμα κοιμησαίμην.
14 Ὁππόθι μυρία φῦλα διοτρεφέων βασιλήων,
Ὁππόθι μὲν λαῶν ἡγήτορες ἠδὲ μέδοντες,
Καὶ βουληφόροι ἄνδρες ἀωτεῦσι γλυκὺν ὕπνον·
Οἷς ποτε δώματα καλὰ, κακῷ ἀπάτερθεν ὁμίλου,
Χρύσεα, μαρμαίροντα τέτυκται, ἄφθιτα αἰεί.
15 Ὁππόθι κοιμῶνται μεγακλήεντες ἄνακτες
Οἱ χρυσὸν τιμῶντα, καὶ ἄργυρον ἐκτεάτισσαν,
Ὄλβον τε πλοῦτόν τ' ἀπειρέσιον οἷς ἐνὶ οἴκοις.
16 Ὡς ὄφελόν γ' ἔκτρωμα μάλ' ὠκύμορον γεγενῆσθαι,
Ὡς βρέφος ἠλιτόμηνον, ὃ οὔποτε φέγγος ὄπωπεν.
17 Ἔνθα δὲ θυμοβόρου ἔριδος λήγουσιν ἀλεῖται.

Τῶν

Nec quis in ea vocem gratam audiat.
Qui illi maledicunt malæ & infortunatæ diei, (gram,
Hanc quoque perniciosam pariter noctem execrentur ni-
Qui gemitum luctúmque vehementem excitaturi ſunt.
Stellæ veſpertinæ obſcuræ ſint ei,
Nec lux ſplendida, nec fulgens luna:
Nec unquam diluculum videat, nec gratam-mortalibus au-
Quoniam materni uteri mihi aperuit fores, (roram.
Nec immenſum meis dolorem oculis abſtulit.
Cur mihi non ſepulcrum erat infelici intra uterum?
Egreſſus ſum ex ventre; utinam ibi periiſſem!
Hei mihi, mater mea, utquid me nutriiſti poſtquam infeliciter pepereras?
Quare non expoſuiſti, quandoquidem peperiſti filium infortunatum?
Utquid verò me recens-natum, & adhuc ſpirantem partum,
Genibus ſuis accipiens infauſta prævenit obſtetrix?
Abi in malã rẽ ter-infelix obſtetrix circa-partᵘˢ-laborans. Ut-
Infantẽ lactavit &nutrivit parvulũ exiſtentẽ? (quid me mãma
Utinam me die illo, quo me primùm peperit mater,
Rapuiſſet, & abſportâſſet pernicioſa venti procella
In montem, vel in undam reſonantis maris, (forent!
Ubi me fluctus mergerent, antequam hæc facinora patrata
Nunc utique imperterritus telluris molli in gremio
Jacuiſſémque ſecurè, & quietè dormiiſſem:
Ubi innumera turba nobiliſſimorum regum,
Ubi populorum ductores & principes,
Et conſiliarii viri carpunt dulcem ſomnum. (dine,
Quibus aliquando tecta pulchra, malâ ſeorſum à multitu-
Aurea, ſplendentia extructa ſunt, perennia ſemper.
Ubi dormituriunt inſignes reges,
Qui aurum pretioſum & argentum poſſiderunt,
Opésque & divitias ingentes ſuis in ædibus. (iſſem,
Utinam partus-abortivus valde citò-periturus natus fu-
Ut embryo immaturus, qui nunquam lucem conſpexit!
Ibi ab animum-rodente contentione deſiſtunt improbi.

Τῶν δέ θ' ὑπ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυνται,
Παυσωλὴν εὑρόντες ἀναπνείουσι πόνοιο.
18 Τούσδε καὶ ἐν φυλακῇ χαλεποὺς πρὶν δεσμοὺς ἐδάμησαν,
Ἥσυχα συγκεῖατ' οὐδεμίην πάσχοντες ἄλυσιν,
Οὐδέ ποθ' ὑβριστέω κρατερῆς αἴουσιν ἐνιπῆς.
19 Ἐνθάδε πάντες ἔασ' ἅμα μικροί τε μεγάλοι τε
Ἄμμιγα καὶ φύρδην· ὁ δ' ἀδέσποτος ἔπλετο δοῦλος·
Ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πέλετο δμώς.
20 Τίφθ' ὁρόωσι φάος καὶ ἔτι ζωοῖσι μέτεισιν
Ἄνδρες ὀϊζυροὶ καὶ ἀδευκέα θυμὸν ἔχοντες;
21 Ὡς ὅτε τις σπουδῇ κρύφιον θησαυρὸν ἐρευνᾷ,
Σκαπτέμεναι μεμαώς, διζήμενος εἴ που ἐφεύροι·
Ὣς οἱ μὲν θανέειν ἔθελον, καὶ τέτμον ὀπιπεῖν,
Διζόμενοι εἴ που θάνατόν γε δυναίατο τέτμεν·
Αὐτὰρ ἔτι ζώουσι, λιλαιόμενοί περ ὀλέθρου.
22 Ἀσπάσιον τοῖσδε τέλος θανάτοιο κάλυψε,
Τερπνόν τε πέλει· μέγα κεν κεχαροίατο θυμῷ,
Ἡσυχίης γενετῆρος ἐπὴν λελάχωσι τάφοιο.
23 Τίπτε φάος δίδοται κρυφίων ἀνδρὶ κελεύθων,
Οἵτε ἐνὶ νεφέλῃ τὸν καὶ Θεὸς εἶρξε μελαίνῃ;
24 Ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται;
Ὤ μοι ἐγώ, ὅτι πρὶν φαγέμεν, στοναχῇ τε γόῳ τε
Θυμὸν ἀκηχέμενος κατέδω φίλον· ἐξ ἐμέθεν δὲ
Κωκυτός τε καὶ οἰμωγὴ κέχυτ', ἠΰτε κρήνης,
Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
25 Πάσχω ἐγὼ παναπότμος, ὃ ἐν φρεσὶ δείδια λίην·
Τοῦτο γὰρ νῦν μ' ἐκίχανεν, ὃ πρὶν μάλα πολλὰ δεδοίκειν.
Καὶ γὰρ ἐγὼν ἐφάμην, πρὶν μόρσιμον ἦμαρ ἐπισπεῖν,
Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
26 Οὐ γάρ πω ἀμειρόμενος ἔην πάλαι εὐθενέων περ,
Οὐδέ μοι ἐν θαλίῃσιν ἀτάρβητος νόος ἔσκεν,
Οὔτ' ἀδεής, αἰεὶ γὰρ κακὸν προτιόσσετο θυμός·
Νῦν δέ τ' ἐελπομένῳ χαλεπή μοι ἐπήλυθεν ὀϊζύς.

Quorum verò gravi labore chara membra ſoluta ſunt,
Ii requiem invenientes reſpirant à labore.
Quos etiam in carcere ſæva priùs compes domuit,
Ii tranquillè ſimul-jacent, nullam patientes catenam,
Nec unquam oppreſſoris ſtrenuas audiunt minas.
Ibi omnes ſunt, tam parvi quàm magni,
Promiſcuè & confuſè: ipſe etiam à-Domino-liber eſt ſervus:
Æqualis ſors imperatori, & ei qui maximè erat mancipium.
Utquid vident lucem & adhuc vivis interſunt
Viri calamitoſi, & amarum animum habentes?
Sicut quando quis diligenter occultum theſaurū ſcrutatur,
In fodiendo promptus, quærens ſicubi inveniat:
Sic hi quidem mori volunt & fato fungi,
Quærentes ſicubi mortem poſſint invenire:
Verùm adhuc vivunt, quantumvis cupidi mortis.
Gratus tales finis mortis texit,
Peroptatúsque eſt: magnopere utique gauderent animo,
Quietis genitorem ſiquidem ſortiti fuerint tumulum.
Utquid lux data eſt occultarum homini viarum,
Calamitatis in nebula quem & Deus incluſit nigra?
Heu me miſerum! quid mecum tandem fiet?
Heu me! quoniam antequam edo, gemitúque lúctúque
Animum triſtis corrodo charum; ex me autem
Lamentatióque & ejulatio funditur, ſicut ex fonte
Qui ab excelſa petra obſcuram fundit aquam.
Patior ego infelix, quod in animo timui valde,
Hoc autem nunc me occupavit, quod priùs vehementer metui.
Etenim ego putavi, priusquam fatalem diem obirem,
Dolores *me* impleturum; ea certè nunc omnia perficiuntur.
Non enim ſecurus eram olim, bonis-abundans licèt,
Nec mihi in proſperitate imperterrita mens erat,
Nec timoris-expers; ſemper autem malum præſagiebat animus:
Nunc verò etiam timenti gravis mihi ſupervenit calamitas.

ΚΕΦ. δ'.

1 ΤΟὺν δ' ἀπαμειβόμενος προσέφη Ἐλιφᾶς Θαμανίτης
2 Ἤν τοι πειρώμεσθα λέγειν, σὺ δὲ μή τι χολωθῇς.
Τίς κεν σιωπήσειεν, ἐρητύσειέ τε γλῶσσαν,
Ὅς ῥ' ἐπὶ οὔασιν οἷσιν ἄκοσμά τε πολλά τ' ἀκούσῃ;
Θυμοδακὴς γὰρ μῦθος, ἐπώτρυνας δέ με εἰπών.
3 Πολλοὺς μὲν δέδαας ὑποθημοσύνῃσι τεῇσι,
Χερσὶν ἀκιδνοτάτῃσι βίην καὶ κάρτος ἔθηκας,
Θάρσος ἐνέσταξας, καὶ ἐνέπνευσας μένος ἠΰ·
4 Εὐκαίροις ἐπέεσσι πεσούμενον ἄνδρ' ὑπέρεισας,
Γούνασί τε σφαλεροῖσιν ὕφ' ἕρμα καὶ ἄλκαρ ἔθηκας
5 Οὐδὲ σὺ τετλάμεν οἶσθα, Θεοῦ ὑπὸ χερσὶ δαμασθείς
Ἀλλά σοι αὐτῷ θυμὸς ἐνὶ στήθεσσιν ὀρίνθη,
Καὶ πινυτοῦ περ ἐόντι, νόος δέ τοι ἔνδον ὑλάκτει.
6 Σχέτλιε, πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
Οὗτός τοι νόος ἐστὶ θεουδής, ᾧ σὺ πέποιθας,
Εὐσεβίη, θάρσος τε, καὶ εἰλικρίνεια, καὶ ἐλπίς;
7 Ἀλλ' ἄγε νῦν, εἴπερ τι παλαιγενέων κλέα φωτῶν
Γινώσκεις, προτέρων δεδαημένος ἔργ' αἰώνων·
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπε·
Τίς πέσεν ἐσθλὸς ἐών; ἢ ποῦ ἀπόλωλε δίκαιος;
Τίς μόρος ἰθυνόου πέλεν ἀνέρος; αἴκε δύναιο
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴπου ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας.
8 Ὃς δὲ κακὸν σπείρει, θερίζει κακόν, ὡς ἐνόησα·
Καὶ κάκ' ἀροτριόωντι κακὸς γένετ' αἰὲν ἀμητός.
9 Καὶ γὰρ ἀπεστυφέλιχθεν ἀτασθαλίης θρεφθέντες
Χωομένοιο Θεοῦ, ἀνέμου ὡς πικρὸν ἄητος,
Ἐξαπίνης δ' ἐμάρανθεν ἑῆς ὑπὸ πνεύματος ὀργῆς.
10 Σμερδαλέη βρυχὴ ὠρυομένοιο λέοντος
Ἐσβέσθη, καὶ φθόγγος ἐριβρύχοιο λεαίνης·
Σκύμνων γαμφηλαί, ὀλοοί τ' ἐρρήχθεν ὀδόντες.
11 Λιμῷ ὑπ' ἀργαλέῳ φθινύθει λῖς ἠϋγένειος,

Σίντης,

CAP. IIII.

ILli autem reſpondens dixit Eliphas Thamanites,
Si te aggrediamur alloqui, tu verò nè iraſcaris.
Quis tacuerit, cohibueritque linguam,
Qui verba auribus ſuis inordinatáque multáque audiverit?
Mordax eſt enim ſermo *tuus*; irritâſti autem me *ſic* locutus.
Multos ſanè inſtruxiſti monitis tuis,
Manibus imbecillimis vim & robur immiſiſti,
Confidentiam inſtillâſti, & inſpirâſti animum bonum.
Tempeſtivis verbis caſurum hominem ſuffulſiſti,
Genibúſque labantibus columen & præſidium ſuppoſuiſti.
Neque *tamen* tu tolerare nôſti, Dei manibus domitus;
Verùm tibiipſi animus in pectoribus commotus eſt,
Et prudenti licèt exiſtenti, mens autem tibi intus latrat.
Miſer, quò nunc tibi confidentia abiit, quam priùs habuiſti?
Hæccine tibi mens eſt religioſa, quâ tu fretus fuiſti,
Pietas, fiduciáque, & ſinceritas, & ſpes?
Aſt agè nunc, ſi priſcorum famam virorum
Nôſti, priorum edoctus geſta ſeculorum,
Eorum jam mihi mentionem fac, & mihi verum dic:
Quis cecidit bonus exiſtens? aut ubi periit juſtus? (ſis
Quod fatum rectam-mentem-habentis fuit viri? ſi fortè poſ-
Illius triſte exitium narrare, ſicubi videris
Oculis tuis, aut alterius ſermonem audieris.
Qui verò malum ſeminat, metet malum, quemadmodum
Et mala aranti mala fit ſemper meſſis. (animadverti,
Etenim deturbati ſunt improbitatis famuli
Iraſcente Deo, vento velut acerbè flante,
Repentè autem conſumpti ſunt ejus ſpiritu iræ.
Horrendus fremitus rugientis leonis
Extinctus eſt, & vox horriſonæ leænæ:
Catulorum maxillæ exitialéſque fracti ſunt dentes.
Fame gravi conficitur leo bene-barbatus,

Σίντης, καὶ κρατερῶν ἐκεδάσθη τέκνα λεόντων.
12 Λάθρα μοι ὡς κλέπτης, κρυφίη φάτις ἄγγελος ἦλθε,
Τυτθὸν φθεγξαμένην ἐμὰ δ᾽ οὔατα δέξατο φωνήν.
13 Νύκτα δ᾽ ὀρφναίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι,
Ὠΐκται δὲ πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων,
Ἔνθά τε φάσματα πολλὰ κατ᾽ ἀνδρῶν δῶσε κάρηνα
Δὴ τότε γὰρ θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.
14 Ὣς ἴδον, ὡς ῥίγησα φόβου ὑπὸ θεσπεσίοιο,
Ἀμφὶ δέ μοι χύτο φρίξ, ὑπὸ δὲ τρόμος ἔλλαβε γυῖα.
15 Πνεῦμα δέ μοι σχεδὸν ἦλθε παριστάμενον κεφαλῆφιν·
Ὀρθαὶ δὲ τρίχες ἔσαν ἐνὶ χρυσέοισι μέλεσσι
Ταρβήσαντος ἐμοῦ· μάλα γὰρ χλωρὸν δέος ᾖρει.
16 Ἔστη, οὐδέ πω εἶδος ἐμὴν διακρινέμεν ἄντα,
Ἀλλ᾽ εἴδωλον ἀμαυρὸν ἐν ὀφθαλμοῖσιν ὄπωπα,
Φθεγξάμενον δ᾽ ὀλίγῃ ὀπὶ με πρὸς μῦθον ἔειπεν,
17 Ἦ ῥά τι συνομένησι Θεοῦ περιγίνεται ἀνήρ;
Ἠὲ δικαιότερος βροτὸς ἔσσεται Ἀθανάτοιο,
Ὅς τ᾽ αὐτὸν ποίησε, καὶ ἔπλασε μηδὲν ἐόντα;
18 Οὐδὲ γὰρ οὐδ᾽ ἐν ἑοῖς πίστιν δούλοισιν ὄπωπεν·
Ἀφροσύνην δ᾽ ἐνόησε καὶ εἰν ἀγνοίῃσι νόεσσιν,
Ἄγγελοι οἳ θεόπεμπτοι ἐπίκλησιν καλέονται.
19 Πῶς οὐκ εἰνὶ βροτοῖς; (ἐπεὶ οὔποτε φῦλον ὁμοῖον
Οὐρανίων τε νοῶν, χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων)
Οἳ καὶ πηλινὰ δώματ᾽ ἔχουσι, ψαμμοθέλυμνα,
Ἀβληχρ᾽, οὐδενόσωρα, τά τ᾽ αἰόλαι εὐλαὶ ἔδονται,
Καὶ σῆτες· τοῖς γὰρ μέλλει μέλπηθρα γενέσθαι.
20 Πρώϊοι ἐξανατέλλουσι, φθίνουσι δὲ πάμπαν
Ἑσπέριοι, τῶν δ᾽ οὔτις ἀπολλυμένων ἀλεγίζει.
21 Τοῖσι δὲ κῦδος ἅμα σφιν ἀπώλολεν, οἵδε καὶ αὐτοὶ
Πρόχνυ κακῶς σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

Noxius, & fortium diſſipati ſunt catuli leonum.
Clanculum mihi tanquã fur ſecretus rumor nuncius venit,
Submiſſè loquentem meæ autem aures receperunt vocem.
Noctem per obſcuram, quando dormiunt mortales cæteri,
Apertæ autem portæ debilium ſunt ſomniorum;
Ubi ſpectra multa virorum intrant capita:
Jam tum enim divinum ad me in ſomnis venit ſomnium.
Ut vidi, ut pavi metu præ ingenti! (membra.
Me autem circundedit horror, tremor autem occupavit
Spiritus verò ad me propè acceſſit aſtans capiti;
Erecti autem crines ſteterunt in frigidis membris
Meis expaveſcentis: valde enim pallidus timor occupavit.
Stetit, nec omnino formam licebat diſcernere coram,
Tantùm imaginem obſcuram oculis conſpexi;
Loquens autem ſummiſſã voce dixit mihi,
Quid? an æquitate Deum excellit homo?
Vel an juſtior mortalis erit Immortali,
Qui eum fecit & formavit nihil exiſtentem?
Neque enim in ſuis fidem ſervis vidit:
Stultitiam autem deprehendit etiam in puris intelligentiis,
Angeli qui à-Deo-miſſi nomine vocantur. (genus ſimile
Quomodo non in mortalibus? (quandoquidem nunquam
Cœleſtiúmq; intelligentiarum ac humi repentium hominũ)
Qui etiã luteas domos tenent, arenoſa-fundamina-habentes,
Debiles, contemnendas, quáſque mobiles vermes edent,
Et tineæ: his enim præda futuræ ſunt.
Matutini exoriuntur, occidunt autem prorſus
Veſpertini, eorum autem nemo pereuntium rationem habet.
Eorum verò gloria unà cum ipſis perit: illi etiam ipſi
Funditus malè ſuã malitiã perditi ſunt.

ΚΕΦ. ε.

1 Εἶ' ἄγε, ναὶ δὴ κάλεσσον, ὅπως τίς σὴν ὄπ' ἀκούῃ·
Ἀλλὰ τίν' ἐξ ἁγίων ἐπιδερκόμενος λιτανεύσεις,
Ὄφρα σοι εἰνὶ δίκῃσι συνήγορος ἄγχι παρέστῃ;
2 Νηπυτίῳ χόλος αἰνὸς ἀεικέα πότμον ἔφηκε,
Καὶ νέμεσις δριμεῖα χαλίφρονα φῶτα κατέκτα.
3 Ἠλίθιον δρυῒ καλῇ ὁμῶς θάλλοντα νόησα,
Ῥίζῃσιν μεγάλῃσι διηνεκέως ἀρηρώς·
Ἀλλ' ὁ μὲν αὐτίκ' ὄλωλε, χάεις δ' ἀπὸ πᾶσα μαράνθη,
Ἀρὰ δ' ὃν κατέμαρψε δόμον, καὶ θῆκεν ἐρεμνούς.
4 Παῖδές οἱ οὐ σόοι εἰσὶ, φάος δέ σφ' οὔτι πέφαν-
ται·
Τείβοντ' εἰνὶ πύλῃσι, καὶ οὐκέτι φυκτὰ πέλονται·
Οὐ παρὰ γάρ τις ἀρωγὸς, ὃς αὐτῶν κῆρας ἀμύνῃ.
5 Ἐσθίεται σφισιν οἶκος, ὄλωλε δὲ πίονα ἔργα,
Αὐτῶν δ' ἀμητὸν, καὶ ἀρούρης καρπὸν ἔδουσιν,
Οὓς ποτε λιμὸς ἄναγε, καὶ ἐκ μέσσων περ ἀκανθῶν,
Ἁρπαλέως, κλέπτης δὲ δόμοις ἐν κτήματα κείρει.
6 Οὐδὲ γὰρ ἐκ γαίης πόνος ἔρχεται, οὐδέ τι σῖτος
Γίγνεται ἐκ κονίης, οὐδὲ χθονὸς ἐξανατέλλει,
Οὐ μὲν ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.
7 Εὖτε δ' ἀέρθησαν φλογόεντα περίπλεα πυρσοῦ,
Σπινθῆρες ῥαδινοὶ (ἣ γὰρ κούφων θέμις ἐστί)
Ῥεῖα δὲ θ' ὕψι πέτοντο, καὶ ἐν νεφέλῃσιν ἔμιχθεν
Ὣς ἐπὶ τὸν κάματον γέγαε βροτὸς, ἠδ' ἐπ' ὀϊζύν
Ὄφρ' αἰεὶ στενάχων, καὶ κήδεα μυρία πάσχων
Τλαίη, καὶ μάλα πολλὰ παθὼν, καὶ πολλὰ μογήσας
Αἰνὸν ἀναπλήσαι βιότου μόρον· ὡς γάρ οἱ αἶσα
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
8 Εἰ δέ με τοῖον ἄχος, χαλεπός τ' ἐδαμάσσατο μόχθος,
Οἷος νῦν σε κίχανε Θεοῦ μεγάλοιο ἕκητι,
Τὸν κεν ἐγὼ λιτανεῦσαι, ἐφ' Ὕψιστόν τε καλέσσαι,
Εὔξασθαί τ' ἐθέλοιμι διαμπερὲς, οὐδέ τι πάμπαν

Εἴκων

CAP. V.

Eia agè, nunc invoca, ut quis tuam vocem audiat:
Verùm quemnam ex ſanctis aſpiciens orabis,
Ut tibi in judicio patronus propè aſtet?
Inſipienti ira gravis immane exitium immiſit,
Et indignatio acerba ſtolidum virum interfecit.
Stultum arboris pulchræ inſtar florentem ſenſi,
Radicibus magnis continuis fundatæ:
At is ſtatim periit, gratia autem *ejus* omnis emarcuit;
Maledictio autem ejus occupavit domum, & furioſa erinnys.
Liberi ejus non incolumes ſunt, ſalus autem iis neutiquam apparet:
Conculcantur in portis, & non ampliùs poteſtas effugiendi (eſt;
Nec enim præſtò eſt quis adjutor, qui ab ipſis fatũ propulſet.
Devoratur eorum domus, peſſúmque eunt pingues res;
Eorum enim meſſem & telluris fructum comedunt,
Quoſcunque fames ſuadet, vel è mediis ſpinis,
Rapaciter, fur autem in ædibus poſſeſſiones deglubit.
Neque enim è terra labor venit, nec ærumna
Naſcitur ex pulvere, nec ex humo oritur;
Non quidem à quercu eſt antiqua, neque à petra.
Quemadmodum autem attolluntur flammeæ alæ ignis,
Scintillæ celeres, (hæc enim levium lex eſt)
Facilè autem ſurſum volant, & nubibus miſcentur:
Ità ad laborem natus eſt homo, & ad miſeriam,
Ut ſemper ingemiſcens & dolores innumeros concoquens,
Suſtineret, & poſtquam valde multa paſſus fuerit, & multa
Gravem compleret vitæ ſortem: ſic enim ei Parca (tulerit,
Naſcenti nevit filo, quando ipſum peperit mater.
Quòd ſi me talis dolor, ſævâque domaret ærumna,
Qualis nunc te prehendit, Dei magni voluntate,
Huic utique ego ſupplicare, Altiſſimúmque invocare,
Precaríque vellem continuò, nec omnino

Cedens

Εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ μάλ' αὐτῷ
Μῦθον ἐπιτρέψαι· ἐπειὴ πολὺ φέρτερός ἐστιν.
9 Ὃς περιδαμβέα ἔργ', ἐξαίσια σήματα φαίνει,
Καὶ μάλα πόλλ' ἀκίχητ' ἀπερείσια θαύματα ῥέζει.
10 Ὑψόθεν ἐκ νεφέων καρποτρόφον ὄμβρον ἔπεμψεν·
Ὄμβρον ἐπὶ χθόνα πέμψε, ϗ ὕδατα χεῦεν ἔεργε.
11 Πολλάκις ὕψωσε χθαμαλοὺς, ϗ ἄεξεν ἀδήλους·
Τειρομένοις κατένευσε σόους ἔμεν, οὐδ' ἀπολέσθαι.
12 Κερδαλέων ἐκέδασσε δόλους, ἀλίωσέ τε τέχνας·
Ἔργον, ὅ, τι φρονέουσ', οὐ μὴ τετελεσμένον ἔσται.
13 Ἐκ τε σοφοὺς ἀπάτησε, ϗ ἀνέρας αἰολομήτεας,
Τῶν δὲ δολοφραδέων σκολιὰς ἀνετρέψατο βουλάς·
Αὐτοὶ δὲ σφετέρῃσι κακοῤῥαφίῃσιν ὄλοντο.
14 Οἱ μέν τ' ἐμπίπλουσιν ἐπὶ ζόφον ἤματος ὥρῃ,
Ψηλαφόωσι δὲ χερσὶ μεσημβρινοὶ, ὡς ἀνὰ νύκτα.
15 Ἀλλ' ἐσάωσε πενιχρὸν ἀπὸ ξίφεός τε μάχης τε,
Ἐκ στόματος κρατεροῖο, ϗ ἐκ χειρὸς ἀνδρὸς ἀγαυοῦ.
16 Ὡς ὁ μὲν ἐλπίδ' ἔχει, ϗ θαρσαλεώτερός ἐστι,
Λωφήσας ποτ' ἀτέρπου ὀϊζύος· αὐτὰρ ἀλιτροὶ
Φρασσομένου στόματός σφιν ἄκην ἐγένοντο σιωπῇ.
17 Τρὶς μάκαρ ἐστὶ ἀνὴρ ϗ τελέφρων, ὃν Θεὸς οὐτᾷ,
Ἠρέμα μαστίζων γλυκυπίκροισι πληγῇσιν·
Ὡς οὐ πάγχυ βαρεῖα θεήλατος ἔπλετο ῥάβδος.
18 Αὐτὸς ἄχος ϗ ἄκος πέμπει, αὐτῇσί τε χερσὶν
Ἕλκεα λυγρὰ δίδωσι, ϗ ἤπια φάρμακα πάσσει.
19 Αὐτοῦ δεξιτερῆφί σε ῥύσεται ἐξ ἐνὶ μόχθοις,
Οὐ μὰν οὐδ' ἄρ ἐν ἑπτὰ κακὸν σέθεν ἐγγὺς ἵκοιτο.
20 Οὔτε ποτ' ἐν πολέμῳ πεφοβήσεαι, οὔτ' ἐνὶ λιμῷ·
Τοῖσι δ' ἐν ἀμφοτέροις θάνατον ϗ πότμον ἀλύξεις.
Εἵως σ' ἐκ βελέων ὑπάγῃ Θεὸς, ἔκ τε κονίης,
Ἔκ τ' ἀνδροκτασίης, ἔκ θ' αἵματος, ἔκ τε κυδοιμοῦ.
21 Οὐδὲ σέ τις γλώσσης λιγυρῇ μάστιγι δαμάσσει,
Εἴπερ ἐπεσβολίῃ φιλοκέρτομος· οὐδέ τι λίην
Ταρβήσεις ἐνὶ θυμῷ ἐπερχομένου περ ὀλέθρου.
22 Ποινὴν ϗ πείνην γελάσσεις σόος, ἔκ τ' ἀθερείσεις
Λοιμόν τε λιμόν τε, ϗ οὐ κακὰ θηρία δείσεις.

23 Σαὶ

Cedens ſtultitiæ magnifica loqui, ſed ipſi
Rem committere; quoniam multò præſtantior eſt.
Qui ſtupenda opera, inuſitata ſigna oſtendit,
Et admodum incomprehenſibilia infinita miracula facit.
Deſuper è nubibus fruges-alentem imbrem miſit,
Imbrem in terram miſit, & aquas fudit humi.
Sæpe exaltavit humiles, & amplificavit obſcuros,
Afflictis conceſſit ſalvis eſſe, nec perire.
Vafrorum diſſipavit dolos, caſſavítque technas;
Opus, quod cogitant, neutiquam perficietur.
Sapientes decepit, & viros verſutos,
Et fraudulentorum obliqua evertit conſilia:
Ipſi autem ſuis malis-machinationibus perierunt.
Hi quidem incidunt in tenebras diurno tempore,
Palpántque manibus meridie, ſicut noctu.
At ſervavit pauperem à gladióque pugnâque,
Ex ore potentis, & ex manu viri inſolentis.
Ità hic ſpem habet, & confidentior eſt,
Cùm requieverit demum ab ingrata ærumna: at impii
Occluſo ore muti ſunt ſilentio.
Ter felix hic vir & quater, quem Deus vulneravit,
Leviter flagellans dulciter-amaris plagis.
Adeò non omnino gravis à-Deo-inflicta eſt virga.
Ipſe dolorem & remedium mittit, iiſdémque manibus
Vulnera triſtia dat, & mitia medicamina aſpergit.
Suâ dexterâ te liberabit ſex in miſeriis,
Nec ſanè in ſeptem malum tibi appropinquabit.
Nec unquam in bello timebis, nec in fame;
His autem in utriſque mortem & exitium fugies,
Dum te extra tela ſubducat Deus, extráque pulverem,
Extra cædem, extra ſanguinem, extráque tumultum.
Nec te quis linguæ ſtridulo flagello domabit,
Etiamſi convitietur rabula: nec valde
Expaveſces animo, ingruente licèt exitio:
Pœnam & inediam ridebis ſalvus, ſpernéſque
Peſtémque famémque, & malas beſtias non timebis.

23 Σοὶ γὰρ ἐνὶ πεδίοισι λίθοι, καὶ ἐν οὔρεσι θῆρες
Ἤπιοι ἔσσονται, φίλα τε φρεσὶ μήδε' ἔχοντες
Ῥήτρας ποιήσουσι, καὶ ὅρκια συνθεσιάων.
24 Γνώσεαι εἰρήνην τε τεὴν, θαλίην δέ τε πολλὴν,
Ἧς πλήθοντα σὸν οἶκον ἐπόψεαι, οὔποθ' ἁμαρτών.
25 Σοὶ δὲ φίλον τέκος ἔσται ἀθέσφατον ἠΰτε ποίη,
Ἣ ῥα κατὰ λειμῶνος ἔφυ μεγάλ' ἤλιθα πολλή.
26 Ὀψὲ τάφον δύσεις, καὶ ἐν ἄκρῳ γήραος οὐδῷ,
Καίριος ἐς θάνατον, πολυήμερος· ὡς ὅτ' ἔελδοι
Ὥρῃ ἐνὶ θερινῇ βαθὺ λήϊον ἀμήσαντες
Μήλοπα καρπὸν ἄγουσιν ἐϋτροχάλους ἐπ' ἀλωάς,
Τῶν δὲ πιεζόμεναι μέγα βεβρίθασιν ἄμαξαι
Δράγματα μὲν σταχύων, στάχυες πλήθουσι δὲ κόκκων.
27 Ταῦθ' ἡμεῖς σάφα ἴδμεν, ὅπως ἔχει· ἀλλὰ σὺ πάντα
Εἰς ἀγαθὸν ξύνες ὦκα, καὶ ἐν φρεσὶ βάλλεο σῇσι.

ΚΕΦ. ϛ'.

1 ΤΟὺν δὲ βαρυστενάχων ἀπαμείβετο δῖος Ἰώβος,
2 Ὡς εἴθ' ἡμετέρης σταθμίζετο ἄχθος ἀνίης,
Καὶ ὀϊζὺς ἐμὴ εἶν ἰσοζυγέεσσι ταλάντοις.
3 Τὴν γὰρ ἐγὼ ψαμάθοιο βαρείονά φημι γενέσθαι·
Τοὔνεκά μοι ἅλιον ἔπος ἔκφυγεν, ὅ,ττι κεν εἴπω.
4 Ἐν γὰρ ἐμοὶ πήγνυντο Θεοῦ πτερόεντες ὀϊστοί·
Αἷμα δέ μευ ψυχήν τ' ἔπιεν θανατηφόρος ἰὸς
Πανκαλάνων βελέων, καὶ ἔγκατα πάντα λάφυξεν.
5 Ἦ ἆρ ὑπαὶ λιμοῦ ναθὴς κακορέζετ' ὄναγρος
Βοσκόμενος λειμῶνι; μέμυκε δὲ βοῦς ἐπὶ φάτνῃ
Πλείῃ, καὶ λάχανον ἐρεπτόμενος καὶ ὀλύρας;
[6 Ἦ ἄχυλον βρωθῆσετ' ἄνευ ἁλός; ἢ ἐνὶ λευκῷ
Ὠοῦ γεῦμα πέλει; ἢ ἐν κενεοῖς ἐπέεσσιν;
7 Ὅσσα πρὶν ἀψίχορος στυγέων ἀπανήνατο θυμὸς,
Ταῦτά μοι οὐλομένης πὸρ ἀτερπέα δαῖτα τραπέζης.
8 Ὤ μοι ἐγὼ δειλὸς, τί νυ βείομαι αἰνὰ μογήσας;

Tibi enim in triviis lapides, & in montibus feræ
Mites erunt, amicáque in pectoribus conſilia habentes
Pacta *tecum* facient, & juramenta fœderum.
Scies pacémque tuam, proſperitatémque multam,
Quâ repletam tuam domum aſpicies, haudquaquam peccans.
Tibi autem chara proles erit innumera, veluti gramen
Quod per pratum naſcitur valde copioſè multum.
Serò ſepulcrum intrabis, & in extremo ſenectutis limine,
Maturus ad mortem, ſatur-dierum: ut quando agricolæ
Tempore æſtivo cùm profundam ſegetem meſſuerint,
Pomacei-coloris frumentum portant rotundas in areas;
Eo preſſa valde onuſta ſunt plauſtra;
Manipuli ariſtis, ariſtæ replentur granis.
Hæc nos perſpicuè novimus, ut ſe habeant; at tu omnia
Bono tuo percipe ſtatim, & in animo perpende tuo.

CAP. VI.

Huic autē graviter-ingemiſcens reſpondit divinus Jobus;
Utinam meæ ponderaretur moles mœſtitiæ,
Et calamitas mea in æquali bilance!
Eam enim ego arenâ graviorem cenſeo eſſe.
Idcirco mihi irritum verbum effugit, quodcunque dixero.
Mihi enim infixæ ſunt Dei alatæ ſagittæ;
Sanguinem verò meum ſpiritúmque hauſit lethiferum virus
Amarulentorum telorum, & inteſtina omnia abſorpſit.
Nunquid præ fame tardus rudet onager,
Dum paſcitur prato? mugitve bos ad præſepe
Pingue, hordeum album comedens & avenam?
Num inſipidum comedetur ſine ſale? vel num in albumine
Ovi ſapor eſt? vel in vanis ſermonibus?
Quæcunque faſtidioſus odit & reſpuit animus,
Hæc mihi peſtiferæ præbent ingratas epulas menſæ.
Heu me miſerum! utquid vivam gravia paſſus?

Εἴθ' ὡς Ἀθάνατος τόδε μοι κρηῆναι ἐέλδωρ,
Τοῦ πάλαι ἱέμενος, τό, τε δὴν ποτιδέγμενός εἰμι.
9 Ὡς ἐπί μοι ἣν χεῖρα βάλοι, καὶ πάμπαν ἀμέρσαι
Ζωῆς, (ὤμοι ἐγώ) πικρὸν τ' ἀπὸ θυμὸν ἕλοιτο.
10 Καί νύ κε θαλπωρήν τινα, μειλιχίην τε δυναίμην
Ὀψέ περ εὑρέμεναι, τλαίην δ' ἀκαχήμενος ἦτορ.
Οὐκ ἐμέθεν πεφίδοιτο· λόγον δ' ἐὸν οὔποτ' ἔκευθον.
11 Ἀλλὰ τί μοι σθένος ἐστί; τί μοι μήκιστα γένηται;
Ὄφρα γε τετλαίην, καὶ ἔτι ζωοῖσι μετείην;
12 Ἦ λιθοκάρδιός εἰμι πέτρῃσί τε κάρτος ἔοικα;
Πέτρης κάρτος ἔοικα, μένος δ' αἴθωνι σιδήρῳ;
Ἢ ἀδάμαντι δέμας, καὶ σάρκας ἀτειρέϊ χαλκῷ;
13 Ἄλκαρ ἐμὸν πόθεν ἐστίν; ἐμὴν ἐκ αὐτὸς ἀρωγὴν
Ἔνδον ἔχω; ἢ μοι πάγχυ φρένας ὤλεσε Δαίμων;
14 Αἰεὶ δ' ἐσθλὸς ἀνὴρ οἰκτίρμονα μῆτιν ὑφαίνει,
Ἀχνυμένων δὲ φίλων ἐπικήδεται, ἠδ' ἐλεαίρει
Τειρομένους, εἴπερ τι Θεοῦ μήνιμα δέδοικεν.
15 Ἀλλ' ἐμὲ τοσσατίοισι βαρυνόμενον φρένα μόχθοις
Ἐξαπάφησ' ἐπέεσσι κασίγνητοί τε, ἔται τε.
Πὰρ δ' ἦλθον χειμάῤῥῳ ἐοικότες ὦκα ῥέοντι·
Ῥεῖ ἀπ' ἐμεῖο δ' ὄλισθον ὁμῶς ποταμοῖο ῥεέθροις·
16 Τοῖσί τε λεῖος ὕπερθε περιτρέφετο κρύσταλλος,
Καὶ νιφετὸς, τὸ δ' ἔνερθε κελαινιάα τρέφε κῦμα
Τὸ πρίν· χείματι γὰρ τε μινυνθαδίῳ ἐπεπήγει·
17 Αὐτὰρ ὅτ' ἠελίοιο φόως, ἀλέη τε γένηται,
Τόφρα τὰ μέν τ' ἀλεεινὰ διέῤῥεεν ἄλλυδις ἄλλο.
18 Οἶμος δὲ σκολιὸς σφετέρων παρέτρεπτο κελεύθων·
Κεῖνα δ' ἀμαυρώθη ταχέως, φθινύθεσκε δὲ πάμπαν,
Πᾶς δ' ἐξηράνθη ποταμὸς, χέτο δ' ἀγλαὸν ὕδωρ.
19 Οἱ Θαιμανῖται ἴδον, ποτιδειδέχαται δὲ Σαβεῖοι,
Εἰσόκε πίνοντες πολυαγκέα δίψαν ἀφῶσιν.
20 Ἀλλ' ὅτε δὴ ποταμῶν ἀπατήλια ῥεύμαθ' ἵκοντο,
Ἐλπίς τι σφιν ὄλωλεν ἀποφθιμένοιο ῥόοιο·
Ὡς ἴδον, ὣς σφεας εἷλε κατηφείη τε καὶ αἰδὼς·
Αἰσχρὸν γὰρ δηρόν τε μένειν, κενεούς τε νέεσθαι.
21 Ὣς ὑμεῖς δολεροὶ, καὶ σχέτλιοι, οὐτιδανοί τε,

Utinam Immortalis hoc mihi perficeret votum,
Cujus *jam* olim cupiens fui, quódque diu expectavi!
Nempe ut manum mihi injiceret, & prorſus ſpoliaret
Vitâ (hei mihi!) amarámque animam auferret.
Utique ſpem aliquam, tranquillitatémque poſſem
Serò licèt invenire, perferrémque mœſtus corde.
Nè mihi parcat: ſermonem verò ejus haudquaquam celavi.
Verùm quid mihi robur eſt? quid me tandem fiet?
Ut tolerarem, & adhuc in vivis eſſem?
Num lapideo-corde ſum ſaxíſque robore ſimilis-ſum?
Saxis robore ſimilis-ſum, viribúſque ardenti ferro?
Aut adamanti corpore, & carne rigido æri?
Tutamen meum unde eſt? meum nonne ipſe auxilium
Intus habeo? vel an mihi prorſus mentem perdidit Deus?
Semper autem bonus vir miſericors conſilium texit,
Ægrotúmque amicorum curam-gerit, & miſeretur
Afflictorum, ſi omnino Dei indignationem metuerit.
At me tot gravatum mente miſeriis
Ludificant verbis fratréſque, amicíque.
Tranſierunt autem torrenti ſimiles celeriter fluenti;
Facilè à me lapſi ſunt quemadmodum fluviales undæ:
Quibus levis ſupernè concrevit glacies,
Et nix, ſubtus autem nigricavit denſus fluctus
Antea; (frigore enim brevi conſtringebantur)
At poſtquam ſolis lux, æſtúſque fuerit,
Tunc illæ quidem tepidæ diffluxere aliò atque alió:
Semita autem obliqua ſuarum perverſa eſt viarum;
Ipſæ verò evanuerunt ſtatim, interciderúntque penitus,
Totus autem exaruit fluvius, ſiſtebatúrque limpida aqua.
Thamanitæ viderunt, expectarúntque Sabei,
Donec bibentes aridam ſitim expellerent.
At cùm jam ad amnium fallacia fluenta veniſſent,
Spéſque iis periiſſet deficiente flumine;
Ut primùm viderunt, eos occupavit probrum & pudor.
Turpe enim diúque manere, vacuóſque redire.
Similiter vos fallaces, & nequam, viléſque,

Ὦ πέπονες, κάκ' ἐλέγχε', ἐμὴν ἐσορῶντες ὀϊζὺν
Τίφθ' οὕτω ταρβεῖτε καὶ ἐν φρεσὶ δειδίξασθε;
Τίφθ' οὕτως ἔστητε τεθηπότες ἠΰτε νεβροί;
22 Ἦ ῥά ποτ' ὔμμιν ἔφην, Δότε μοι κειμήλιον ἐσθλὸν,
Δῶρα δ' ὑπὲρ μεῦ φέρτε φίλοι, ἐχθροῖσιν ἄποινα,
23 Δυσμενέων ἀνδρῶν ῥύσασθέ με ἐκ παλαμάων,
Ἐκ θ' ὑβριστήρων οἳ ἀτάσθαλα μηχανόωνται;
24 Εἴπετε, σιγήσω· με διδάσκετε, οὐκέτι λέξω·
Ἀμπλακίας μοι ἐμὰς ἀποδείκνυτε, ὄφρα δαείω.
25 Πολλάκις ἐνναίροισι βίη μύθοισιν ὀπηδεῖ
Μειλιχίοις. ἀγαθή τε παραίφασίς ἐστιν ἑταίρου·
Ἀλλὰ τί νῦν ὑμέων μομφὴ καὶ μῶμος ἐλέγχει;
26 Νήπιοι, ἦ ῥά νυ φάσθε λόγων μωμήτορες εἶναι,
Ἀνδρὸς ἀνελπίστοιο λόγων ἀνέμοισιν ὁμοίων;
Οἷον γὰρ ψιθύρισμα λιγυπνείοντος ἀήτεω,
Τοῖον ἔπος πέλεν ἀνδρὸς ἀναλκίδος ἠπεδανοῖο.
27 Ἀλλ' ὑμῖν κραδίη, πέλεκυς ὥς, ἐστὶν ἀτειρής.
Παιδὶ μὲν ὀρφανικῷ ἀλεγεινὸν ἐφήκατε πότμον,
Δυστήνῳ δ' ἑτάρῳ ἀπατηλὸν ὀρύξατε βόθρον.
28 Κέκλυτέ μευ μύθων κατὰ τὸ πάσχοντος, ἑταῖροι·
Λεύσσετ' ἐμὴν ἄτην, καὶ ὁρᾶτέ με, οἷα πέπονθα·
Ὑμεῖς γὰρ σάφα ἴστε, ὅτ' ἀτρεκέως ἀγορεύσω.
29 Αἲ ἀπονοστήσαιτε φίλοι, ἐπεὶ οὐκ ἀπέοικεν,
Αἲ ἀπονοστήσαιτε παλίντροπον ἦτορ ἔχοντες,
Εὐδικίην νοέοντες ἐμὴν, ὅτ' ἀναίτιός εἰμι.
30 Ἦ μευ ἐνὶ γλώσσῃ πέλεν ἀμπλακίη ἀλεγεινή;
Ἠέ μοι ἀκριτόμυθος ἀπὸ στόματος ῥέεν αὐδή;

ΚΕΦ. ζ'.

1 Οὐκ ἄρα μόρσιμον ἦμαρ ἐπιχθονίοισι πέπηγεν;
Οὐ ζωῆς ὅρος ἐστὶν, ἐπεκλώσαντο τε κῆρες;
Τὸν δ' οὔ πω τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

Ἤματι

O molles, mala propudia, meam intuentes calamitatem
Quid adeò expaveſcitis, & animis horreſcitis?
Curnam ſic ſtatis ſtupidi ſicut hinnuli?
Num quando vobis dixi, Date mihi munus bonum,
Dona pro me ferte amici, hoſtibus redemptionis pretium,
Inimicorum virorum liberate me è manibus,
Et ab oppreſſoribus, qui improba machinantur?
Eloquimini, tacebo; me docete, nil ampliùs dicam:
Delicta mihi mea oſtendite, ut ſciam.
Sæpe opportunis vis ſermonibus ineſt
Manſuetis, bonúmque hortamen eſt amici.
At quid nunc veſtra increpatio & reprehenſio arguit?
Inepti, nunquid exiſtimatis verborum reprehenſores eſſe,
Viri deſperati verborum ventis ſimilium?
Qualis enim ſuſurrus ſtridulè-ſpirantis venti,
Talis ſermo eſt homuncionis debilis, deſpicabilis.
At vobis cor ſecuris inſtar eſt durum:
Puero ſanè orphano miſerandam inflixiſtis mortem,
Miſeróque ſodali fraudulentam fodiſtis foveam.
Audite meos ſermones, mala licèt patientis, ô ſocii;
Cernite meum infortunium,& videte me,qualia paſſus ſum:
Vos enim certò ſcitis, quòd veraciter loquar. (eſt;
Denuo revertimini,amici,quandoquidem non indecorum
Denuo revertimini redux cor habentes,
Integritatem conſiderantes meam, quoniam inſons ſum.
Nunquid mea in lingua eſt iniquitas gravis?
Aut mihi futilis ab ore fluit vox?

CAP. VII.

NOnne fatalis dies mortalibus præfixa eſt?
Nonne vitæ terminus eſt,deſtinârunt verò *eum* Parcæ?
Quem adhuc neminem arbitror effugiſſe hominum.
Neque malum,neque bonum,poſtquam primùm genitus ſit.

Ἤματα δ' ἀνθρώπου, ὡς ἤματα μισθωτοῖο.
2 Ὡς σκιὴν εὐφραίνει δμωὸς κεκαφηότα θυμόν,
Ὥρῃ ἐνὶ θερινῇ καμάτῳ ἀδδηκότος αἰνῷ,
Ἱδρῷ τειρόμενος· ἢ ὡς μένος ἐργατίναο
Ἀλλήκτῳ κραδίῃ νύκτας τε καὶ ἤματα μίμνει,
Εἰσόκε μισθὸν ἄροιτο· τὸ γὰρ γέρας ἐστὶ καμόντων·
Ἀσπάσιον δ' ἄρα τοῦγε τέλος καμάτοιο πέφανται.
3 Ὡς μοὶ θέσφατόν ἐστι πολὺν χρόνον ἐκτολυπεύειν
Μαψιδίως, καὶ μῆνας ἀνηνύστῳ ἐπὶ μόχθῳ.
Αἰεὶ δ' ἀργαλέῳ ἔχομ' ἄσθματι, οὐδέ πῃ ἔστιν
Ἀμπνεῦσαι κακότητος ὀϊζυροῦ τε πόνοιο·
Οὔτε ποτ' ἠέλιός μ' ἴδεν ἥσυχον, οὔτε σελήνη,
Ἤματα δὲ στενάχω, καὶ ἀΰπνους νύκτας ἰαύω.
4 Κεῖμαι ἐνὶ λέκτρῳ πεπεδημένος ἠῶ δῖαν·
Ὁππότε δ' ὄρσωμ'; εἴπω, καὶ, Ἕως πότε νὺξ ἔτι μίμνει;
Πάννυχος ἐγρήσσω, καὶ ἑλίσσομαι ἔνθα καὶ ἔνθα,
Ἄλλοτ' ἐπὶ πλευρᾶς κατακείμενος, ἄλλοτε δ' αὖτε
Ὕπτιος, ἄλλοτε δὲ πρηνής, τετιημένος ἦτορ.
5 Σάρκα δέ μοι σκώληξ καὶ βῶληξ ἀμφεκάλυψεν,
Ἀμφιδρυφὴς δὲ χρὼς κεχαραγμένος ὠτειλῇσιν,
Αἵματι καὶ λύθρῳ πεπαλαγμένος, ἀμφὶ μέλεσσι
Τήκετ' ἀεικελίως, βρύε δ' ἕλκεσι μυδαλέοισιν.
6 Ἔφθιτό μοι ζωὴ ἄτερ ἐλπίδος· ᾤχετο δ' αἰὼν
Κερκίδος ὠκυτέρη, ἥτ' ἰδμοσύνῃσιν ὑφάντεω
Ῥίμφα διατρήσασα μίτου ἅμα πηνίον ἕλκει.
7 Ἦ οὐκ ἄρα μέμνησαι, ὅτι μοι βίος ὥσπερ ἄελλα
Ὦκα μάλ' ἀΐξασα δι' αἰθέρος ἀτρυγέτοιο,
Οὔτε ποτ' οὐκ ἀγαθὸν πάλιν ὄψομαι ὀφθαλμοῖσιν;
8 Οὐκέτι μ' ὀφθαλμὸς βλέψει πάλιν, ὅς πρὶν ὄπωπεν·
Ὄμματά σου ἐπ' ἐμεῖο, καὶ οὐκέτι δηρὸν ἐσοῦμαι.
9 Ἠΰτε γὰρ νεφέλη, ὅτ' ἐπισπέρχωσιν ἀῆται,
Πνοιῇσι λιγυρῇσι τετυμμένη, ἐξαπιναίως
Ὤιχετο, τὴν γάρ τ' αἶψα διεσκέδασ' ἲς ἀνέμοιο
Λαίλαπι θεσπεσίῃ, καὶ ἀπεστυφέλιξεν Ὀλύμπου·
Οὕτως ὅσπερ ἅπαξ κατέβη δόμον Ἄϊδος εἴσω,
Οὐκέτι μὴν ἀνέβαινε· τόθεν πάλιν οὐκέτι νόστος.

10 Οὐ

Dies verò hominis, ut dies mercenarii.
Sicut umbra lætificat ſervi anhelantem animum,
Tempore æſtivo labore laſſati duro,
Sudore defeſſi: aut ſicut operarius
Indeſinenti corde noctéſque diéſque expectat, (tium;
Dum mercedem recipiat; hoc enim præmium eſt laboran-
Gratus utique huic finis laboris apparuit.
Sic mihi in fatis eſt multum temporis exantlare
Fruſtra, & menſes irrito in labore.
Semper autem gravi teneor anhelitu, neque uſquam licet
Reſpirare ab afflictione ærumnoſóque labore:
Neque unquam ſol me vidit quietum, neque luna;
Interdiu autem ingemiſco, & inſomnes noctes traduco.
Jaceo in lecto expectans auroram divinam;
Quando ſurgam? inquam, &, Quouſq; nox adhuc manet?
Tota nocte vigilo, & volutor ſúſque déque;
Interdum in latera inclinatus, interdum verò rurſus
Supinus, interdum verò pronus, afflictus corde.
Carnem autem meam vermis & gleba *pulverulenta* cir-
Laceráque cutis exarata vulneribus, (cundedit,
Sanguine & ſanie polluta, circa membra
Tabeſcit turpiter, ſcatétque ulceribus purulentis.
Defecit me vita ſine ſpe: tranſiit autem ævum
Radio ocyus, qui peritiâ textoris
Celeriter pertranſiens licium ſimul ſtamen trahit.
An non meminiſti, quòd mea vita *eſt* ſicut procella
Citò admodum ruens per aërem infrugiferum,
Nec unquam bonum iterum intuebor oculis?
Non ampliùs me oculus videbit denuo qui priùs aſpexit:
Oculi tui ſuper me, & non ampliùs diu ero.
Veluti enim nubes, quando ingruunt venti,
Flatibus ſtridulis verberata, derepentè
Evanuit, eam enim ſtatim diſpulit vis venti
Procellâ ingenti, & deturbavit Olympo:
Sic qui ſemel deſcendit in ſepulcrum, (tus.
Non ampliùs aſcendit: abinde rurſus haudquaquam *eſt* redi-

10 Οὐ δ' αὖθ' ὅνδε δόμονδε παλίμβιος ἀπονέεσθαι·
Οὐκέθ' ἑ χῶρος ἑὸς πάλιν ὄψεται, οὐκέτι πα-
τρίς.
11 Τοὔνεκα γλῶσσαν ἐμὴν οὐκ ἰσχάνει ἕρκος ὀδόντων,
Οὐδ' ἀκέων τλήσω· κέλεται δέ με θυμὸς ἀνίῃ
Οἶτον ἐμὸν κλαίειν, λαλέειν θ' ὑπὸ δεινοπαθείης,
Καὶ θαλεροῖο γόοιο τεταρπέσθαι φίλον ἦτορ.
12 Εἰμὶ γὰρ πόντος ἐγώ, ἢ κῆτος ἐν οἴδματι πόντου
Ἄγριον, οἷά τε πολλὰ πελώρια τέτραφεν ἅλμη,
Ὄφρα με νῦν πεδόων, περί τ' ἀμφί τε δέσματα βάλλων
Εἴρξῃς ἀσφαλέως, ἵνα μήποτε φυκτὰ πέλωνται;
13 Εἴποτ' ἔφην, ὅτι λέκτρον ἐμοὶ παραμύθιον ἔσται,
Εὐνή τε μαλακὴ παύσει γόον· (Ἡ γὰρ ἐκείνη
Ἡσυχίης γενέτειρα κασιγνήτη τε τάφοιο)
14 Τόφρα δ' ἐμοὶ καὶ ὀνείρατ' ἐπώρσεν κακὰ Δαίμων,
Φάσμασι νυκτερινοῖσι καὶ ὀπτασίῃσι ταράσσων.
15 Τοὔνεκα γὰρ πνίγα θυμὸς ἐέλδετο, οὐδέ νύ μοι κῆρ
Ἤθελ' ἔτι ζώειν, καὶ ὁρᾶν φάος ἠελίοιο.
16 Ὤ μοι ἐγώ, τί πάθω; ἐπεὶ οὐκ ἐθέλοιμι βιῶναι
Πάντοτε καὶ ἐσαεί· ὡς ἄχθομαι; ἀλλά μ' ἔασον,
Ὦ Πάτερ, ὦ Βασιλεῦ, ὅτι μοῦ βίος ἐστὶ μάταιος.
17 Ἄνθρωπος τί γάρ ἐστιν, ὅτ' αὐτῷ κῦδος ὄρεξας;
Ἢ ὅτι σῷ τόσσον κεχαρισμένος ἔπλετο θυμῷ;
18 Τῷδέ τε πᾶσαν ἐπ' ἠῶ ἐπίσκοπον ὄμμα τιταίνεις,
Τόνδέ τε νωλεμέως δοκιμάζεις πᾶσαν ἐφ' ὥρην.
19 Ἕως πότε μ' οὐκ ἐάας σέον ἔμμεναι; οὔτ' ὀλίγον περ,
Οὔθ' ἕως ἂν σίαλόν μου λαυκανίης καθέηκα;
20 Ἀασάμην· τί δέ σοι ῥέξω, πανυπέρτατε Σῶτερ
Ἀνδρομέης γενεῆς; τί δέ με σκοπὸν ἔμμεν' ἔθηκας,
Τῷ ῥ' ἐπιτοξάζοιο πτυσκόμενος βελέεσσιν,
Ὡς αὐτόν με γενέσθαι ἐμοὶ χαλεπώτατον ἄχθος;
21 Τίπτε γε δυσνομίας μοι ἐμὰς οὐ μᾶλλον ἀφίησεις;
Τίπτ' οὐκ ἀμπλακίας ὀλέσεις; Τάχα δ' εἰνὶ κονίῃ
Κείσομαι· ἠῶθι ζητεύμενος, οὐκέτ' ἐσοῦμαι.

Non poteſt ſuam domum redivivus reverti:
Non ampliùs eum locus ſuus iterum videbit, non ampliùs
patria. (um,
Quamobrem linguam meam non cohibet vallum denti-
Neque tacitus ſuſtinebo; jubet autem me animus præ mœ-
Calamitatem meam flere, fariq; præ infortunio. (ſtitia
Et recèns-ſemper-repullulante luctu delectare charum cor.
Súmne autem pontus ego, aut cetus in gurgite ponti
Immanis, qualia multa monſtra nutrivit ſalum,
Ut me nunc conſtringens, & circumcirca vincula induens
Includeres tutò, ut nullo modo poteſtas effugiendi ſit?
Siquando dixi, Lectus mihi ſolatio erit,
Cubiléque molle ſedabit luctum; (Certè enim illud
Quietis mater ſorórque ſepulcri.)
Tum verò mihi & inſomnia immiſit mala Numen,
Spectris nocturnis & viſionibus perturbans.
Igitur ſuffocationem anima deſiderat, neque meum cor
Vellet ampliùs vivere, & videre lucem ſolis.
Hei mihi, quid patior? quandoquidem nollem vivere
Semper & in perpetuum: quàm ægrè habeo! At mitte me,
O Pater, ô Rex, quoniam mea vita eſt vana.
Homo enim quid eſt, quòd ipſi gloriam præbuiſti?
Vel quòd tuo adeò gratus eſt animo?
In eum ſingulo mane ſpeculatorem oculum intendis,
Eúmque indeſinenter exploras ſingulis horis.
Quouſq; me haud ſinis ſalvum eſſe? nè tantillùm quidem,
Donec ſalivam meam per guttur demiſero?
Peccavi. Quid tibi faciam, ſupreme Servator
Humani generis? Utquid me ſcopum eſſe poſuiſti,
In quem arcum intenderes collimans telis,
Adeò ut ego ipſe ſim mihi graviſſimum onus?
Quare iniquitates mihi meas non potiùs remittes?
Quare non peccata abolebis? Mox autem in pulvere
Jacebo: diluculò quæſitus non ampliùs ero.

ΚΕΦ. ή.

1 Τὸ ὄφρα δ' ὑποβλήδην Σαυχαῖος ἀμείβετο Βαλδάδ,
Κερτομέων τὸν Ἴωβον ὀνειδίοις ἐπέεσσιν·
2 Ἕως πότε μὰψ αὔτως ἀνεμώλια ταῦτ' ἀγορεύεις;
Ἕως πότε μὰψ οὕτω φλυαρεῖς; σεῖο δ' ἔπλετο μῦθος
Ὡς ὅτε μορμύρουσι λιγυπνείοντες ἀῆται,
Οἵτε κατ' οὔατα φωτὸς ἀτερπέα βόμβον ἱεῖσιν;
3 Ἦ ὀρθὴν ἀλίωσε δίκην πανυπέρτατος Ἐσσήν;
Ἠὲ παρ' ἀνθρώποις σκολιὰς ἔκρινε θέμιστας;
4 Εἰ ἄρα πως ἀλίτοντο Θεὸν σεῖο νήπια τέκνα,
Αὐτοὶ δὲ σφετέρῃσιν ἐν ἀφραδίῃσιν ὄλοντο·
5 Εἰ μὲν ἐνὶ πρώτοισι Θεὸν διζήμενος εἴης,
Τὸν δ' ἀγανῇσι λιτῇς γουνούμενος εὐχετόωο.
6 Εἰ καθαρός τ' εἴης, καὶ ἀμύμονα δήνεα εἰδὼς,
Ὑψιμέδων κεν Ἄναξ ἐπὶ σοὶ ἄγρυπνον ὀπωπὴν
Ἵλαος αἰὲν ἔχοιτο, παριστάμενός τε φυλάσσοι
Σῆς ἕνεκ' εὐσεβίης ἄλοχόν τε καὶ ὑψερεφὲς δῶ.
7 Εἰ μικρὸς τὸ πρῶτον, ἀτὰρ μέγας ὕστερον ἔσσῃ,
Ἀρχῆς ἐξ ὀλίγης τέλεός σοι ἀεξομένοιο.
8 Πρωτίστην γὰρ γενεὴν δῖά τ' εἴρεο, ἠδὲ μετάλλα,
Καὶ πατέρας, καὶ φῦλα παλαιγενέων ἀνθρώπων
Πάντα μάλ' ἐξερέεινε, καὶ ἀρχαίων γένος ἀνδρῶν,
9 (Χθιζοὶ μὲν γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Οὐδὲν ἐπιστάμενοι· οἷς ζωὴ ὡς σκιή ἐστι,
Ζωὴ ὡς σκιή ἐστι, βίος τ' εἴδωλον ἀμαυρόν)
10 Οὔ σε διδάξουσιν, σοί τ' ἀγγελέουσιν ἐκεῖνοι,
Εἰδυίης πραπίδεσσιν ἐναίσιμα μυθολογεῦντες;
11 Σχοῖνος ἄρ' ἐν τενάγεσσιν ἄνευ πηλοῖο πεφύκει;
Ἦ νύ τι που φῦκος, καὶ βούτομον ὑδατόθρεμμον
Διψάδος ἐκ γαίης νοτίης ἀπάτερθε τεθήλει;
12 Χλωρὸν ἐὸν, θαλερόν τε πρὸ ἀμητοῖο μαράνθη
Ὠκύτερον βοτάνης, καὶ ἀεικεῖ κάρφεται ὥρῃ.
13 Ὣς πάντων ὁδοί εἰσιν, οἳ ἐκλελάθοντο Θεοῖο.

Τηΰσίη

CAP. VIII.

Tum verò intercepto ſermone Sauchæus reſpondit Bil-
Inceſſens Jobum probroſis verbis; (dad,
Quamdiu incaſſum inania iſta loqueris?
Quouſque fruſtra adeò nugaris? tuúsq; eſt ſermo
Ut quando obſtrepunt ſibilantes venti,
Qui circa aures hominis ingratum ſtridorem mittunt?
Num rectum fruſtravit judicium ſupremus-omnium Rex?
Aut inter homines iniquo-jure judicavit cauſas?
Siquidem peccârunt in Deum tui inſipientes liberi,
Ipsique ſuâ ſtultitiâ perierunt:
Si inprimis Deum quæreres,
Eique molles preces ſupplicans funderes:
Si purus eſſes, & irreprehenſibilium conſiliorum conſcius,
Altipotens utique Rex in te vigilantem oculum
Propitius ſemper haberet, aſſiſténsque cuſtodiret
Tuæ pietatis ergò conjugémque & excelſam domum *tuam*.
Si parvus inprimis *fueris*, at magnus poſtea eris,
Principio ex minuto fine tibi creſcente.
Primævum enim ſeculum interrogáq; & ſciſcitare,
Et patres, & nationes priſcorum hominum
Omnes ſcrutare, & antiquorum genus virorum.
(Heſterni ſiquidem ſumus ſupra terram genus hominum,
Nihil ſcientes: quibus vita velut umbra eſt,
Vita velut umbra eſt, ævúmq; *velut* ſimulacrum evanidum)
Nonne te docebunt, tibique nunciabunt illi,
Peritâ mente utilia narrantes?
Juncúsne in locis-paluſtribus abſque limo naſcitur?
Nuncubi alga, & carex aquarum-alumnus
Sitienti è terra citra humorem effloreſcit?
Adhuc virens vigénsque ante meſſem marceſcit
Ocyùs *quâvis* herbâ, & iniquâ areſcit horâ.
Sic omnium viæ ſunt, qui obliviſcuntur Dei.

Τηΰσίη γάρ τ' ἐλπὶς ἀτασθάλου ἀνδρὸς ὀλεῖται.
14 Ἐλπὶς μὲν συγκρῆ, θάρσος δέ οἱ ἔσσετ' ἀφαυρὸν,
Ἠΰτ' ἀράχνια λυγρὰ φόνον μυίῃσι φέροντα·
Καὶ τὰ μὲν οὖν καθύπερθε μελαθρόφιν ἐξεκέχυντο
Λεπτὰ, τά κ' οὔτις ἴδοιτο, δολοῤῥαφίῃσιν ἀράχνης,
Ἀλλὰ τάγ' αἶψ' ἔῤῥαισε κακὴ ἀνέμοιο θύελλα.
15 Ἀβληχρὸς δέ οἱ οἶκος ἀεὶ καὶ ἐρείψιμος ἔσται·
Τῷ ὅγ' ἐρεισάμενος κατερήειπεν, οὐδέ πω οἶκος
Ἔσταθεν ἀσφαλέως, οὐδ' ἣν χείρεσσιν ἐρεισθῇ.
16 Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
Χώρῳ ἐν οἰοπόλῳ, τὸ δέ τε βρύει ἄνθεϊ λευκῷ
Καλὸν, τηλεθάον, φυτὸν ἢ ὡς γουνῷ ἀλωῆς·
Ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ,
Βόθρου τ' ἐξέστρεψε, καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
Ὡς ὁ μὲν αὐτίκ' ὄλωλεν. Ἢ ὡς δρῦς ὑψιπέτηλος,
17 Ἧς ῥίζαι πυκιναί τε διηνεκέως ἀραρυῖαι
Ἐν πολλοῖσι λίθοισιν ἐρηρέδαται ἐπὶ βουνῷ·
Ἀλλ' οὐδ' ὡς δρυτόμων ἀνδρῶν ὀρυμαγδὸν ἄλυξεν·
Οἱ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
Καί μιν ἐπειγόμενοι χαλκῷ τάμον· ἡ δ' ἐριποῦσα
Ἔστενεν, ὑψηλαὶ δὲ κόμαι κονίῃσιν ἔμιχθεν.
18 Ὡς ὁ μὲν ἄνθεϊ βαιὸν ἐπὶ χρόνον, οὔτι μάλα δὴν,
Ἀγλαΐῃ τε μινυνθαδίῃ καὶ κύδεϊ γαίων·
Αἶψα δ' ἀποφθίμενον καὶ ἑός μιν ἀνήνατο χῶρος,
Εἶπε δὲ, Μήποτ' ἐγώ σ' οὐδ' ὀφθαλμοῖσιν ὄπωπα.
19 Τοῦτο μέν οἱ τέλος ἐστὶ, κακῶν δέ τε χάρμα κελεύθων.
Ἄλλοι δ' ἐκ γαίης σφετέρην ἐρύουσι γενέθλην,
Ὕστεροι ἐξανατέλλοντες πολὺ φέρτεροι αὐτοῦ.
20 Οὐ γὰρ Ἄναξ ἄφθαρτος ἀπώσεται ἄνδρα δίκαιον,
Οὐδ' ἐπὶ δυσσεβέεσσιν Ὀλύμπιος ἔσσετ' ἀρωγός.
21 Εἰσόκ' ἂν γλυκεροῦ λαιμὸν πλήσειε γέλωτος,
Στήθεα γηθοσύνης, καὶ χείλεά σου ἀλαλαγμοῦ·
22 Αἶσχος καὶ λώβην ἐπιειμένοι αἰὲν ἔσονται
Ἐχθροί σου· Κλισίη δὲ κακῶν ἀπὸ πάμπαν ὄλωλε.

ΚΕΦ. θ'.

Vana enim ſpes improbi hominis peribit. (lis,
Spes quidem miſerabilis, fiducia autem ejus erit umbrati-
Perinde atque aranearum-telæ crudeles, cædem muſcis fe-
Quæ ſupernè è lacunari effuſæ ſunt (rentes,
Subules, quas nemo videre queat, doloſâ-texturâ araneæ;
At eas mox peſſundedit mala venti procella.
Infima ei domus ſemper & ruinoſa erit,
Cui ille innixus cadit, necdum domus
Stat firmiter, non ſi vel manibus ſuffulciatur.
Qualem nutrit plantam vir florentem olivæ
Loco in ſolitario, quæ floret flore albo
Pulchra, vireſcens, aut ſicut germen in fœcunda terra:
Veniens autem repentè ventus cum turbine multo,
Foſſâq; evulſit & extendit ſuper terram.
Sic ille ſtatim occidit. Aut ſicut arbor alta,
Cujus radices denſæ firmiter fixæ
Inter multos lapides compactæ ſunt in colle:
Verùm neque ſic lignicidarum virorum ſtrepitum vitavit:
Hi autem iverunt ligniſecas ſecures in manibus habentes,
Et eam urgentes ferro ſciderunt; ea autem collapſa
Ingemuit, excelſæ autem comæ pulvere commixtæ ſunt.
Ità hic quidem floret pauxillum temporis, neutiquam val-
Brevi ſplendore, & gloriâ ſuperbiens. (de diu,
Statim verò defunctum etiam ſuus ipſum abnegavit locus,
Dixitque, Nunquam ego te nè oculis quidem vidi.
Hic certè ei finis eſt, malarúmque gaudium viarum.
Alii autem ex terra ſuam trahent originem,
Deinceps exorientes multò præſtantiores ipſo.
Non enim Rex incorruptibilis rejiciet virum juſtum,
Neq; impiis Olympius erit auxiliator.
Donec ſuavi guttur *tuum* impleverit riſu,
Pectora lætitiâ, & labia tua jubilo:
Probro & ignominiâ amicti uſquè erunt
Inimici tui: Tentorium autem malorum funditus periit.

CAP. IX.

ΚΕΦ. θ'.

1 ΤΟ'ν δ' βαρυστενάχων προσέφη πολύμητις Ἰωβος,
2 Οἶδα· τίη μοι ταῦτ' εὖ εἰδότι πάντ' ἀγορεύεις;
Γιγνώσκω, φρονέω· τάχα δὴ φρονέοντι πιφαύσκεις.
Πῶς γάρ τις μερόπων ὅσιος Θεοῦ ἄντα φανείη;
3 Ἢν δ' οἱ θαρσήσας τλαίη ἐριδαινέμεν ἄντην,
Δῦναί τ' αἰνὸν ἀγῶνα, καὶ ἐν δίκῃ ἀντιάσασθαι,
Εἰ μὲν χίλιοί εἰσιν, ὅδ' οὐχ ἕνα λύσει ἔλεγχον,
Ἀλλὰ Θεῷ ὑποείξετ' ἐΰς περ ἐὼν ἀγορητής.
4 Ὃς πέρι μὲν νόον ἀνθρώπων, πέρι δ' ἔξοχα καὶ ἀλκήν,
Ἀμφοτέρων, πινυτός τε ἄναξ, κρατερός τε μαχητής.
Καὶ δ' αὐτῷ τίς πώποτ' ἔχε σκληραύχενα θυμόν,
Οὐδὲ κακῶς ἀπόλωλεν ἀγηνορίῃσι νόοιο;
5 Ὃς κίνησεν ὄρη κατά τ' ἔστρεψεν μενεαίνων,
Οὐδ' ἴσασι βροτοὶ πῶς ἤριπε· νεῦε δ' ἔραζε
Ἐξορθουμένων ὀρέων αἰπεινὰ κάρηνα.
6 Χωόμενος δ' ἀνδρῶν γενεῇ ἐτίναξεν ἔνερθε
Γαῖαν ἀπειρεσίην, τετάρακτο δὲ πάντα θέμεθλα
Ἠπείρου προμερής, βέβριθε δὲ κινυμένη χθών.
7 Ἠελίῳ ἐπέτειλε, καὶ ἥλιος οὐκ ἀνέτειλεν·
Ἰχνύα δὲ φόως, καὶ ἐρύκακεν ἄστρα φαεινά·
Ἀμφεκάλυψε πόλον, σκιόωντο δὲ πᾶσαι ἀγυιαί
Ἠέρι καὶ νεφέλῃ, κατὰ δ' Οὐλύμπου κέχυτ' ἀχλύς.
8 Ὅς τε καὶ ἐκτάνυσεν μόνος οὐρανὸν ἀστερόεντα,
Καὶ περὶ ῥίμφα πάτησεν ἐπὶ ῥόθοι κῦμα θαλάσσης
9 Ἀρκτοῦρόν τ' ἀκάμαντα, τό, τε σθένος Ὠρίωνος
Τεῦξε, καὶ ἑπταπόρους, ἃς Πληϊάδας καλέουσιν,
Ἀστέρας, ὀμβροτόκους τε δόμους Νότου σχεδὸν ἀέντος.
10 Ὃς περιθαμβέα ἔργ', ἐξαίσια σήματα φαίνει,
Ὃς μάλα πόλλ' ἀκίχητ' ἀπερείσια θαύματα ῥέζει.
11 Ἄσσον ἰὼν ἔλαθέν με Θεός· τὸν δ' οὔ τι δυναίμην
Ὀφθαλμοῖσιν ἰδεῖν ἢ ἔνθ' ἢ ἔνθα κιόντα.
12 Ῥηϊδίως ἀποαιρεῖται· τίς κέν μιν ἐρύκοι;

Νεικείων

C A P. IX.

Illum verò graviter ingemiſcens affatus eſt prudens Jo-
Novi;quid mihi iſta bene ſcienti cuncta dicis? (bus,
Scio, intelligo; hæc jam gnaro loqueris. (queat?
Qui enim aliquis mortalium juſtus coram Deo apparere
Si cum eo confiſus audeat contendere cominus,
Subiréque grave certamen,& in jure obviàm-ire,
Siquidem mille ſunt, is nè unum ſolvet argumentum,
Verùm Deo cedet, bonus licèt fuerit orator.
Qui ſupra homines eſt mente, ſupráque robore,
Utrumque, prudénsq; rex , fortísq; bellator.
Adverſus illum quis unquam habuit obfirmatum animum,
Et non malè periit inſolentiâ mentis?
Qui movit montes evertítque iratus,
Neque nôrunt homines quomodo ceciderunt;vergunt autem
Concuſſorum montium ſublimia capita. (in terram
Succenſens autem humano generi, labefactavit ſubtèr
Terram immenſam , commota autem ſunt omnia funda-
Terræ tremulæ, gravata autem eſt mota tellus. (mina
Soli imperavit, & ſol non ortus eſt;
Cohibet autem lucem, & detinet aſtra ſplendida;
Obtexit polum, obumbrantur autem omnes viæ
Caligine & nebulâ, circa Olympum autem fuſæ ſunt tene-
Qui & extendit ſolus cœlum ſtellatum, (bræ.
Et celeriter ambulavit ſuper ingentem fluctum maris;
Arcturúmque indefeſſum, robúrq; Orionis
Fecit, & ſeptenas, quas Pleiadas vocant,
Stellas, imbriferáſq; domos Noti humidùm flantis.
Qui ſtupenda opera, inuſitata ſigna oſtendit,
Qui admodum incomprehenſibilia infinita miracula facit.
Propiùs accedens latuit me Deus, eum verò nequeo
Oculis videre aut huc aut illùc euntem.
Facilè aufert: quis illum impediat?

Objur-

Νεικείων τ' ἐρέοι, Ἄγε νῦν, τόδε ποῖον ἔρεξας;
13 Ἢν Θεὸς οὐκ ἐθέλῃ μεθέμεν χόλον, οὐδὲ πίθηται
Μηνιθμὸν μὲν ἀπορρίψαι, φιλότητα δ' ἑλέσθαι.
Δεινοὶ ἀμυντῆρες καὶ ἀλαζόνες ἄνδρες ὑπ' αὐτῷ
Στῆσαν γνὺξ ἐριπόντες, ὅ, τε τρόμος ἔλλαβε γυῖα.
14 Τολμήσω καὶ ἐγὼ δειλὸς τοῦγ' ἀντίον εἰπεῖν
Ἐξαίτοισι λόγοις, ἐπέων τ' ἔριδα προφέρεσθαι;
Οὐδὲ γὰρ ἦν ἀγαθός περ ἀνὴρ καὶ ἀναίτιος εἴην,
15 Οὐδέ μιν ἀντιβίοισιν ἀμειψαίμην ἐπέεσσιν,
Ἀλλ' ἱκέτης τ' εἴην, ἐπί τε κλῄσαιμι δικαστήν.
16 Εἰ μὲν ἐγὼ ἐκάλεσσα, Θεὸς δ' ἔμ' ἀμείβετο μύθῳ,
Ἀλλ' οὐδ' ὧς ἐπεποίθε' ἐμῆς ὅτ' ἀκήκοε φωνῆς.
17 Ὡς δ' ὅτ' ὀρώρηται δεινὴ ἀνέμοιο θύελλα
Ὑψόθεν ἐκ νεφέων, ἣ ποιῇσι λιγυρῇσι
Γαῖαν ὅλην μάστιζεν, ὅλην μάστιζε θάλασσαν·
Ὣς ἐμὲ τύψε Θεὸς ῥαδινῇ μάστιγι διώκων,
Πεπληγὼς ὑπὲρ αἶσαν ἀεικέσι πληγῇσιν.
18 Ἀλλήκτοις ὀδύνῃσι πεπαρμένον οὔτι μίνυνθα
Ἀμπνεῦσαι κακότητος ἔμ' εἴασεν, ἀλλ' ἐδάμασσε
Πευκεδανοῖς βελέεσσιν, ὅλον δέ με πικρὸν ἔθηκεν.
19 Ἰσχύος εἰ μέμνημαι, ὅδε κράτει προβέβηκεν·
Εἰ δ' ἐρέοιμι θέμιστα δικαιοσύνην τ' ἐρατεινήν,
Τίς κ' ἦμαρ θείη, ἵν' οἱ ἐν δίκῃ ἀντιβολήσω;
20 Εἴγε δίκαιος ἐγὼ καὶ ἀμύμων εὔχομαι εἶναι,
Γλῶσσά κέ μοι κατ' ἐμεῦ ἐπιμάρτυρα ψῆφον ἐνείκαι
Ἰθύνοόν με λέγω; σκολιόφρων αὐτὸς φανοῦμαι.
21 Ἀλλά κ' ἀμώμητος ἐὼν ἐθέλοιμί γε θυμὸν ὀλέσσαι,
Βουλοίμην κεν ἐγὼ νῦν τεθνάμεν, ἠὲ βιῶναι.
22 Τοὔνεκ' ἔφην, Ἀπόλεσσεν ὁμῶς ἄδικόν τε καὶ ἐσθλόν·
Ἴση μοῖρ' ἀγαθῷ τε, καὶ εἰ μάλα τις κακὰ ῥέζοι·
Κάτθαν' ὁμῶς ὅ, τ' ἀλιτρὸς ἀνήρ, ὅ, τε ἐσθλὰ ἐοργώς.
23 Ὄφρα δίκαιον ἐπ' ἄνδρα θεήλατος ἦλθεν ἱμάσθλη,
Καὶ δ' αὐτοῦ γελόωσιν ἀτασθαλίης ὑποφῆται.
24 Γαίης μὲν κρατέουσιν ὑπέρβιοι ὑβριστῆρες.
Ὀφθαλμοὺς γὰρ ἄμερσεν ἐπιχθονίους βασιλῆας
Κοίρανος ὑψιμέδων· εἰ μή, ποῦ, ἠὲ τίς ἐστι;

25 Κραι-

Objurgánsque dicat, Agè nunc, quid hoc eſt quod feciſti?
Si Deus nolit remittere iram, nec perſuaſus ſit
Indignationem deponere, amicitiámque ampleċti,
Terribiles auxiliatores & arrogantes viri ſub eo
Steterunt in genua collapſi, tremórque occupavit membra.
Audebo & ego miſer huic contradicere
Seleċtis ſermonibus, verborúmque contentionem offerre?
Neq; enim etiamſi probus vir & inſons eſſem,
Ipſi altercantibus reſponderem verbis;
At ſupplex eſſem, invocarémque judicem. (ne,
Si quidem ego vocavi, Deus autem mihi reſpondit ſermo-
At neq; ſic confiſus ſum, meam quòd audierit vocem.
Sicut autem quando oritur ſæva venti tempeſtas
Deſuper è nubibus, quæ flatibus ſtridulis
Terram totam flagellat, totum flagellat mare:
Ità me percuſſit Deus celeri ſcuticâ perſequens,
Verberans immoderatè indecoris plagis.
Indeſinentibus doloribus transfoſſum nè tantillùm
Reſpirare à calamitate me ſivit, verùm domuit
Amarulentis telis, totúmq; me amarum fecit.
Robur ſi memoro, hic viribus pollet;
Si loquar de æquitate juſtitiâque amabili,
Quis diem dicet, ut ei in judicio occurram?
Si juſtus ego & inculpatus glorior eſſe,
Lingua mea contra me teſtem calculum feret.
Integrum me dico? perverſus denuo apparebo.
Verùm etiam irreprehenſibilis exiſtens vellem vitam per-
Mallem ego nunc mori quàm vivere. (derę,
Quamobrem dixi, Perdidit pariter improbum & probum:
Æqualis ſors bono, ac ſi valde quis mala faciat;
Mortuus eſt ſimiliter ſceleratúsq; vir, quíq; bona operatus fuit
Quando juſtum ſuper virum divinitus-miſſum venit fla-
Illum derident improbitatis miniſtri. (gellum,
Terræ imperant ſuperbi oppreſſores.
Oculis enim privavit terrenos reges
Princeps altiſſimus: ſin minús; ubi, aut quis eſt, *qui ità fecit?*

Velo-

25 Κραιπνοτέρη μοι ζωὴ ἐλαφροτάτοιο δρομῆος,
Ὅς τε μάλ' ὦκα θέει ποσὶ καρπαλίμοισι πεποιθώς·
Ῥίμφα δὲ παρμέμβλωκεν, ἅτε πτερὸν, ἠὲ νόημα·
Ἤματά μοι πεπότηντο, καὶ οὐ πέλε χρήγυον εἶδε.
26 Παρβέβασι πλείοισι λινοπτερύγεσσιν ὁμοῖα
Ποντοπόροις, τάδε ῥίμφα διαπρήσσουσι θαλάσσης,
Ὠκύτερον πνοιῆς, ἢ ἀπὸ νευρῆφιν ὀϊστοῦ·
Ἢ αἐτὸς οἰμήσαντι διὰ νεφέων ἐρεβεννῶν
Ἐσσυμένως, εἴπου τι ἕλωρ καὶ κύρμα κιχείη.
27 Εἴποτ' ἔφην, Ὀλίγον γὰρ ἐμῆς ἐπιλήσομαι ἄτης,
Παυόμενος κλαυθμοῖο, καὶ ἐς φρένα θυμὸν ἀγείρων,
(Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο)
28 Τόφρ' αἰνῶς δείδοικα μετὰ φρεσὶν ἄλγεα λυγρὰ
Μυρία· ὅσσα τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ·
Οἷσί τε πωλεμέως περί τ' ἀμφί τε θυμὸν ἀπύχθω.
Καὶ τί δ' ἐγὼ σάφα οἶδ', ὅτι οὐ με ἄεθλον ἐάσεις.
29 Εἰ δὲ γ' ἀλείτης εἰμὶ καὶ εἰσέτι, τίπτε νύ μοι κῆρ
Μὰψ αὔτως ἐμόγησεν ἀνηνύστῳ ἐπὶ ἔργῳ;
30 Εἰ γε λοεσσάμενος πῆλον ἐν νιφόεντι λοετρῷ,
Χεῖρας νιψάμενος κρήνῃ ἐπὶ καλλιρεέθρῳ,
Ἥτε κατ' αἰγίλιπος πέτρης χέει ἀγλαὸν ὕδωρ·
31 Ἀλλὰ σύ μ' ἐς βόθρον ῥίψεις, μιαρὸν δέ τε θήσεις,
Ἰλύϊ καὶ πηλῷ μεμορυγμένον ἀμφὶ μέλεσσιν
Ἐκ ποδὸς ἐς κεφαλὴν, χρωτὸς δέ κε πικρὸν ἀέντος
Ὀδμὴ ἀποστάξειε, φίλον τείρουσα χιτῶνα.
32 Οὐ γὰρ ἔγ', οἷος ἐγὼ, δειλὸς βροτὸς, ὄφρα πεποιθὼς
Οὐδέ τις ἀνθρώπων οἱ ἀρέρης καρπὸν ἔδουσιν,
Ὄφρ' ἀπαμειψαίμην, καί οἱ ἐν δίκῃ ἀντιασαίμην.
33 Οὐδέ τις ἀμφοτέροισι μεσέγγυος ἄμμιν ὀπηδεῖ,
Ὅς κε λύησι δίκην, κατὰ δ' ἀλλάσσῃσι καὶ ἡμέας,
Οἷς ἀγανοῖς ἐπέεσσιν ἔειν καὶ νείκεα παύων.
34 Οἶμα δ' ἑῆς μάστιγος ἐμεῦ ἄπο πάμπαν ἐρύκοι,
Οὐδ' ἔτι θεσπεσίοισί με δειδίσσοιτο φόβητροις.
35 Καὶ τότε θαρσήσας μάλα εἴπεμεν, ὅ, τι περ οἶδα,
Βούλομ' ἀπηλεγέως, φρεσὶ πευκαλίμῃσι πιθήσας.
Ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσεν Θεὸς ὄλβον
Πένθεσι τειρομένῳ· νῦν δὲ χρὴ τετλάμεν ἔμπης.

Velocior mihi vita perniciſſimo curſore,
Qui admodum celeriter currit pedibus agilibus confiſus:
Citatim verò tranſiit, tanquam ala, aut cogitatio.
Dies mei avolârunt, & nunquam commodum viderunt.
Tranſierunt navigiis lineas-alas-habentibus ſimiles
Pontigradis, quæ leviter percurrunt mare,
Ocyùs vento, aut à nervo ſagittâ:
Aut *ſimiles* aquilæ irruenti per nubes obſcuras
Properè, ſicubi aliquam prædam & eſcam reperiat.
Siquando dixi, Parumper mei obliviſcar infortunii,
Deſiſtens à fletu, & in mentem ſpiritum recolligens;
(Nullus enim effectus eſt triſtis luctûs)
Tum vehementer metui in animo dolores ſævos
Plurimos (quot folia & flores naſcuntur vere)
Quibus indeſinenter undiquaque mente conſternor.
Etiam hoc ego certò ſcio, quòd me inſontem non dimittes.
Quòd ſi peccator ſum etiamnum, quorſum mihi cor
Incaſſum adeò laboravit infectò in opere?
Etſi lotus fuero in niveo lavacro,
Et manus alluero ad fontem pulchra-fluenta-habentem,
Qui ab excelſa petra fundit limpidam aquam;
Attamen tu me in foveam præcipitabis, immundúmq; (reddes,
Cœno & luto inquinatum circa membra
A calce ad caput, ut à cute amarùm ſpirante
Odor diſtillet charam affligens veſtem.
Non enim ille, qualis ego, miſer mortalis, ut conſiderem;
Nec quis hominum qui telluris fructum comedunt,
Ut reſponderem, & ei in judicio adverſarer.
Nec quis ambobus arbiter nobis præſtò-eſt,
Qui ſolvat litem reconciliétque nos,
Suis mollibus verbis contentionem & jurgia ſedans.
Impetum autem ſui flagelli à me prorſus cohibeat,
Nec ampliùs mirificis me perterrefaciat ſpectris.
Et tum confiſus valde dicere, quodcunq; novi,
Volo intrepidè, mente prudenti fretus.
Sed neutiquam mihi tantam deſtinavit Deus felicitatem
Doloribus afflicto: nunc autem oportet tolerare utcunque.

ΚΕΦ. ι'.

1 Ὤ μοι ἐγὼ δειλός· τί νύ μοι μήκιστα γένηται;
Ὥς μοι ἀσπαστὴ εἴη βιότοιο τελευτή·
Ὡς ὄφελον θανέειν· ζωὴν δ' ἐμὸν ἔστυγεν ἦτορ.
Τοὔνεκα δὴ κλαύσω περὶ πικράων ὀδυνάων
Οἰκτρ' ὀλοφυρόμενος, καὶ κωκύσω μινυρίζων.
2 Ἀλλ' ἐρέω γε Θεῷ, Οὐ μὴ κατ' ἐμεῖο γινώσκῃς,
Δεῖκνυθί μοι, τί νυ τόσσον ὀδυσσάμενος χαλεπαίνεις;
3 Ἦ ἄρα τοι φίλον ἐστὶ καταστρύχειν τὰ σὰ ἔργα;
Ἦ τοι ἀπόβλητ' ἐστὶ τεῶν δαιδάλματα χειρῶν;
Ἦ ἐφ' ἁμαρτινόων ὀλοόφρονα δήνεα φωτῶν
Ἀντέλλειν ἐθέλεις γλυκερὸν σέο φέγγος ὀπωπῆς;
4 Ποῖοι γὰρ τεοὶ ὀφθαλμοί, ἐπεὶ ἐσσι πανόπτης;
Ἦ ἄρα σαρκινοί εἰσι καὶ ἀνδρομέοισιν ὁμοῖοι;
Ὄμματα καὶ κεφαλὴν δειλῷ βροτῷ ἴκελός ἐσσι;
Δέρκεαι ὡς ἄνθρωπος, ὅς οὐ φάος ἐστὶν ἀμαυρόν;
5 Ἤματά σοι βεβάασιν ὁμῶς μεροπηΐδι φύτλῃ;
Ἦ ἄρα τοι φθινύθεσκε βίος, περὶ δ' ἔτραπον ὧραι
Μηνῶν φθινόντων, περιτελλομένων τ' ἐνιαυτῶν,
Οἷα περ ἀνθρώπου, μινυώριον ὃν τέκε μήτηρ;
6 Ἀμπλακίας ὅτ' ἐμεῖο διηνεκέως ἐρεείνεις,
Ἴχνια μαστεύων, καὶ ἁμαρτάδα πᾶσαν ἐρευνῶν.
7 Εὖ μὲν γὰρ τόδε οἶσθ', ὅτι οὐκ ἀθεμιστός εἰμι.
Ῥύσασθαι δὴ τεῶν οὔτις δύνατ' ἐκ παλαμάων.
8 Χεῖρες ἐγώγε τεῆς τέχνημα μέγ' εὔχομαι εἶναι,
Ἥ με κάμεν τεύχουσα, τὸ πρὶν καὶ μηδὲν ἐόντα,
Εὖ καὶ ἐπισταμένως, ἅμα τε πρόσσω καὶ ὀπίσσω
Ἔπλασεν· ἀλλ' οὐδ' ὡς ἐμέθεν φείσασθαι ἔμελλες.
9 Φράζεο νῦν τεὸν ἔργον, ἰδ' ἐν φρεσὶ βάλλεο σῇσι,
Γουνοῦμαί σε, Ἄναξ, μιμνήσκεο, μηδέ σε λήθη
Αἱρείτω, τὸ πάλαι ὅτι μ' ἔπλασας, ἠΰτε πηλόν,
Τόν τ' ἔκαμε πλάστης πολυϊδρείῃσι νόοιο·
Καὶ πάλιν ἐς κονίην καὶ μητέρα γαῖαν ἀνάξεις;

10 Ὡς

CAP. X.

HEu me miſerum! quid mecum tandem fiet?
Quàm mihi gratus eſſet vitæ terminus!
Utinam mortuus eſſem! à vita autem meum abhorret cor.
Propterea flebo præ amaris doloribus
Miſerabiliter lugens, & ejulabo quiritans.
At dicam Deo, Nequaquam me condemnes:
Oſtende mihi, quare tantopere ſuccenſens indignaris.
Nunquid tibi placitum eſt affligere tua opera?
Nunquid tibi deſpicatui ſunt tuarum artificia manuum?
Num ſuper peccatorum pernicioſa conſilia virorum
Oriri vis dulce lumen tui vultûs?
Quales enim *ſunt* tui oculi, quandoquidem es omnium-
Nunquid carnei ſunt, & humanis ſimiles? (conſpector?
Oculis & capite miſero mortali ſimilis es?
Aſpicis ut homo, cujus lumen eſt obſcurum?
Diéſne tibi tranſeant perinde atq; humano generi?
Vel num tibi deperditur vita, & circumvertuntur horæ
Menſibus declinantibus, volventibúſque annis,
Pariter atq; homini, citò-periturum quem peperit mater?
Quòd in delicta mea jugiter inquiris,
Veſtigia indagans, & peccatum omne perſcrutans.
Probè enim hoc nôſti, quòd ſceleratus non ſum,
Liberare autem tuis nemo poteſt è manibus.
Manûs ego tuæ artificium valde glorior eſſe,
Quæ me elaborans fecit, priùs vel nihil exiſtentem;
Bene & ſcienter, ſimúlque à facie & à tergo
Formavit; at neque ſic mihi parcere futurus es.
Conſidera nunc tuum opus, & animo perpende tuo,
Obſecro te, Rex, memento; nec te oblivio
Capiat, quòd olim me finxiſti, veluti argillam
Quam efformavit figulus peritiâ mentis;
Et rurſus in pulverem, & matrem terram rediges?

10 Ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν
Ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιστρέφεται κυκόωντι·
Ὣς ἄρα μ' ἐξέχεας τε καὶ ἠΰτε τυρὸν ἔπηξας.
11 Ἀμφὶ περὶ χρόα μοι βάλες, ἄρραφον οὔτε χιτῶνα,
Δημῷ καὶ σάρκεσσιν ἐμὸν δέμας ἀμφεκάλυψας,
Γομφοῖσιν πυκινοῖσι, καὶ ἁρμονίῃσιν ἄρηρας,
Ὀστέοισιν πάντοισιν ἰδὲ νεύροισιν ἔδησας·
12 Περῖκα δέ μοι ζωὴν ἅμα καὶ ἐλεητὺν ὀπάσσας·
Ψυχήν μου ἐσάωσε τεὸν πανεπίσκοπον ὄμμα,
Θρέψέ τε τὴν πρόσθεν ζωαρκέα δῶκεν ἀϋτμήν.
13 Καὶ τὰ μὲν ἔνδον ἔχεις, καὶ ἐνὶ φρεσὶ βυσσοδομεύεις·
Εὖ δ' ἄρα γινώσκω, ὅτι σοι πάρα ταῦτα τέτυκται.
14 Εἴποτ' ἀλιτραίνω, σὺ μάλ' ἔκδικον ὄμμα τιταίνεις
Ἐμμαπέως νοέεις με, καὶ οὐ νήποινον ἀφήσεις.
15 Ὤ μοι ἐγὼ δύστηνος, ἀτάσθαλος εἴπερ ἐτύχθην·
Εἰ δὲ δίκαιος ἔω, καὶ ἐνὶ φρεσὶν ἄρτια εἰδώς,
Οὐδ' ὥς μοι θέμις εἴη ἔχειν ὑψαύχενα θυμόν.
Πίμπλαμαι αἰσχύνης, σὺ δὲ μου ἐπιδέρκεο μόχθον.
16 Λίην γὰρ χαλεπός, καὶ ἀέξεται αἰὲν ἐφ' ὥραις.
Ὡς δ' ἢ λέων σίντης ὀρεσίτροφος, ἀλκὶ πεποιθώς,
Ὅς τ' ἐπεὶ οὖν ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
Εὕρῃ ἐνὶ βήσσῃσι, κακὰ φρονέων ἐπόρουσεν·
Ὣς σύ με νῦν ἀλαπαδνόν, ἀκιδνότατόν τε διώκεις
Αὐτίκα δ' αὖ ἐνὶ μοὶ τελέεις περιθαμβέα ἔργα.
17 Μάρτυρας κατ' ἐμεῖο τεῆς ἐπιμάρτυρας ὀργῆς
Ἰλαδὸν ὀτρύνεις, καὶ ἐπήτριμοι ἄλλος ἐπ' ἄλλον
Ἀντίβιοί μοι ἔασι μόθοι, πόλεμοί τε, μάχαι τε.
18 Τίπτε με μητρείης ἐρρύσαο γαστέρος ἔξω
Σχέτλιον; ὡς θανέειν ὄφελον, καὶ πότμον ἐπισπεῖν,
Ὄφρ' ἔτι ἠμιτέλεστος ἔην ἐνὶ γαστρὶ τεκούσης·
Ὡς οὐδείς ὄφελέν με ποτ' ὀφθαλμοῖσιν ἰδέσθαι.
19 Τοῖος ἔην, οἷος, τὸν δ' οὔπω ἐγείνατο μήτηρ,
Οὐδ' ἔτι φέγγος ὄπωπε, καὶ οὐκ ἔτ' ἐόντι ἐῴκειν·
Αὐτίκα δ' ἐκ νηδύος πεφορημένος ἐς τάφον ἦλθον,
Ἐνθάδε νῦν κείμην μαλακῷ δεδμημένος ὕπνῳ.
20 Ἦ οὐκ ἤματα παῦρα, μινυνθάδιός τέ μοι αἰών;

Τῷ

Sicut quando coagulum lac album citatum coegit,
Quod erat liquidum; valde autem velociter concreſcit mi-
Sic utiq; me effudiſti, & velut caſeum coagulâſti. (ſcentis
Cutem mihi undiq; circundediſti, inconſutilem veluti tu-
Adipe & carne meum corpus circumtexiſti, (nicam,
Clavis denſis & compagibus coagmentâſti,
Oſſibus tot, & nervis ligâſti: (iſti;
Gratis autem mihi vitam ſimul & miſericordiam exhibu-
Animam meam ſervavit tuus omnium-inſpector oculus,
Aluitque quem primùm vitalem dedit ſpiritum.
Et hæc quidē intus habes, & in animo profundè-cogitas;
Bene equidem novi, quòd apud te hæc ſunt.
Siquando pecco, tu admodum vindicem oculum inten-
Statim obſervas me, & non impunitum dimittes. (dens
Hei mihi miſero, improbus ſi fuero!
Quòd ſi juſtus eſſem, & in mente integra ſciens,
Neq; ſic mihi fas eſſet habere elatum animum.
Oppletus ſum dedecore, tu verò meam aſpice miſeriam:
Valde enim gravis *eſt*, & creſcit ſemper in horas.
Sicut autem leo nocivus montanus, robore fiſus,
Qui cùm cervum cornutum, aut agreſtem capram
Invenerit in ſaltibus, infeſto animo irruit:
Ità tu me nunc imbellem debiliſſimúmque perſequeris:
Mox autem rurſus in me perficis mirabilia opera.
Flagella contra me tuæ teſtes iræ
Catervatim incitas, & denſi, alii poſt alium,
Adverſarii mihi ſunt tumultus, belláque, pugnæque.
Quare me materno eripuiſti ex utero
Miſellum? Utinam periiſſem & fato functus fuiſſem,
Quando adhuc ſemiperfectus eram in ventre genitricis!
Utinam nemo me unquam oculis vidiſſet!
Talis eſſem, qualis quem nondum genuit mater,
Necdum lucem aſpexit, & nondum exiſtenti ſimilis-forem:
Statim verò ab utero geſtatus ad ſepulcrum veniſſem,
Ubi nunc jacerem molli obrutus ſomno.
Nonne dies pauci, brevéq; mihi ævum?

Τῷ με ἔα, ἵνα τυτθὸν ἀναπνεύσω κακότητος,
21 Πρὶν με μολεῖν, ὅθεν οὐ μέλλω πάλιν ἀπονέεσθαι·
Γαῖαν ἐς ἀχλυόεσσαν, ὅπου κὴρ ἀμφιμέλαινα,
Καὶ σκιὴ οὐλομένη ναίει, καὶ νὺξ ἐρεβεννή·
22 Χῶρον ἐς ὀρφναῖον, σκότεος τε μελάντερον αὐτοῦ,
Ἧ μόρος ὀμβριμοεργὸς ἔχει σκιόεντα μέλαθρα,
Ἧ κόσμος χάος ἐστὶν ὅλος, καὶ φέγγος ὀμίχλη.

ΚΕΦ. ια.

1 ΤΟὺν δ᾽ ἀπαμειβόμενος προσέφη Σωφὰρ Ναμαθίτης,
Ἦ δὲ μέγ᾽ ὀχθήσας χαλεποῖς ἠνίπαπε μύθοις·
2 Οὐ χρὴ ἀκριτόμυθον ἀναιδέα γλῶσσαν ἐλέγξαι;
Ἔσται ἀμετροεπὴς μάλ᾽ ὑπέρτερος εἶναι θέμιστι;
Ἢ δίκην νικήσει ἐπεσβόλος, ὅς τε κολῳᾷ,
Καί ῥ᾽ ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη;
3 Μή με τεοῖς ψεύδεσσι, λαλῖσα τε, καὶ φλυάροισιν
Ἔλπεο φιμώσειν, ἐπεὶ οὐκέτι φημὶ γελᾶσαι.
Ἀπλοεπὴς, ποῖον γὰρ ἔφης; ἐπεὶ οὐδέ τι σοὶ χρὴ
Λαβραγόρην ἔμεναι· ληρεῦντα δέ σ᾽ οὔτις ἐλέγξει;
4 Ὦ μοι ἀναιδείην ἐπιειμένε, ποῖον ἔειπες;
Ἁγνὸς ἔμοιγε βίος καὶ ἀκηρασίη παλαμάων,
Φημὶ δ᾽ ἀμύμων εἶναι ἐπῆς προπάροιθεν ὀπωπῆς.
5 Ὡς ὄφελ᾽ Ἀθάνατός σοι ἀριφραδὲς ἀντίον εἰπεῖν,
Ἱερὸν ἐκ λαιμοῖο χέων νημερτέα φωνήν,
6 Καί σοι ἀναγγέλλων σοφίης μυστήρια θείης·
Διπλόα γὰρ πέλεται περὶ τῶν δυνάμεσθα δαῆναι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Τιμὴν οὔτι Θεῷ τίνεις, ὅσον ἄξιός ἐσσι.
Ἀλλ᾽ ὁ μὲν ἀμπλακίης ποινὴν πολὺ μεῖον ἀπαιτεῖ,
Ἵλαος ὤν· ἦ γὰρ μάλ᾽ ἔχει οἰκτίρμονα θυμόν.
7 Ἦ ποτ᾽ ἐρευνῶν οἶσθα Θεοῖο μετ᾽ ἴχνια βαίνειν,
Ἀθάνατόν τε περιφραδέως διζήμενος εὑρεῖν;
8 Τὸν δ᾽ ἐξιχνιάσαι χαλεπώτατόν ἐστιν, ὑψοῦ τε

Ideo ſine me, ut pauxillùm reſpirem à calamitate,
Antequam vadam, unde haud iterum reverſurus ſum;
Terram ad caliginoſam, ubi Parca nigra,
Et umbra exitialis habitat, & nox obſcura;
Locum ad tenebricoſum, tenebríſque atriorem ipſis,
Ubi mors horrida habet umbroſa palatia,
Ubi ordo chaos eſt omnis, & lux caligo.

CAP. XI.

Huic autem reſpondens dixit Sophar Namatites,
Et valde indignatus gravi *eum* increpuit ſermone:
Nonne oportet loquacem impudentem linguam redarguere?
Erit garrulus ſuperior in judicio?
Aut cauſam vincet rabula, quique tumultuatur,
Et verba animo ſuo inconditáque multáq; tenet?
Nè mihi tuis mendaciis, loquaciſſime, & nugis
Speres te os-obturaturum, ſiquidem nondum arbitror fieri.
Audax, quale enim dixiſti? quandoquidem non te oportet
Garrulum eſſe: nugantem verò te nemo redarguet?
Heu impudentiā indute, quale dixiſti?
Pura mihi vita *eſt*, & integritas manuum,
Arbitror etiam me inculpatum eſſe in ejus conſpectu.
Utinam Immortalis tibi manifeſtè ex-adverſo dicat,
Sancto ex ore fundens veram vocem,
Et tibi annuncians ſapientiæ myſteria divinæ:
Duplicia enim ſunt præ iis quæ poſſumus ſcire.
Aliud autem tibi dico, tu autem animo manda tuo;
Pœnam haudquaquam Deo ſolvis, quantùm dignus es,
At is ſanè peccato ſupplicium longè minus requirit,
Propitiùs cùm ſit: certè enim valde habet miſericordem animum.
Nunquid indagando nôſti Dei veſtigia inſequi,
Immortalémq; prudenter quærens invenire?
Illum autem inveſtigare difficillimum eſt, ſupérque

Οὐρανὸν ἀστερόεντα, καὶ ἐμβυθιώτερον αὐτοῦ
Ἄϊδος, ἠχὶ βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον
Τῷ κε τί σὺ πρήξασθαι δύναιο, τί δὲ καὶ σὺ γινώσκεις;
9 Μακρότερον χθονός ἐστιν ἀπείρονος, ἠΰτε μάλιστα
Ἐς μῆκος τετάνυσται ὑπ' αἰγλήεντος Ὀλύμπου·
Οὐδὲ πλάτος τόσον ἐστὶν ἀθεσφάτου Ὠκεανοῖο
Δεινοῦ, ὃς περὶ γαῖαν ἀπείριτον ἐστεφάνωται.
10 Εἰ μὲν ἀποτμήξειε, καὶ ἐρητύει ἄνδρας ἀλιτροὺς,
Εἴτε δ' ἑοὺς θεράποντας ἀολλέας εἰς ἓν ἀγείρει
Πανσυδίῃ, τίς οἱ ἔργον ὀνόσσεται, οἷον ἔοργεν;
11 Ἦ δὲ γὰρ κενεοὺς ἀνδρῶν, ὅτι εἰσὶ μάταιοι·
Εἶδεν ἀτασθαλίην, καὶ ἀλιτροσύνην ἐνόησε.
12 Φαῦλος ἀνὴρ, γνωμαῖς περ ἀνὴρ ὡς πῶλος ὀνάγρου,
Ἤθελ' ὑπερφρονέειν, πάντων πέρι τ' ἴδμεναι ἄλλων.
13 Εἰ ἄρα τοι προτέρων κραδίη, καὶ θυμὸς ἑτοῖμος,
Ἴστω δ' εὐχωλῇσι, λιτῇσί τε μειλιχίῃσι,
Χερσί τ' ὀρεκτῇσι μεμαὼς Θεὸν ἱλάσκεσθαι·
14 Εἰ κακότητα δ' ἀπέρριψας σέθεν ἐκ παλαμάων
Τῆλε μάλ', οὐδέ τις ἀμπλακίη τεὸν οἶκον ἔναιε·
15 Τόφρα σοι ἀγλαΐη λάμψει ἄσπιλος ὀπωπῇ,
Κάλλεϊ καὶ χαρίτεσσι μέγα στίλβουσα, καὶ ἥβῃ.
Στήσεαι ἀσφαλέως, τρόμος οὔθ' ὑπὸ γυῖα δονήσει.
16 Ἀλλὰ τεῆς ἐπιλήσεαι οἰζύος, ἠδ' ὀδυνάων
Πασέων αἵ σ' ἐρέθουσι· τεῇ παρελεύσεται ἀνίῃ
Ῥεῖα μάλ', οἷά τε κῦμα πολυφλοίσβοιο θαλάσσης.
17 Ἡ δέ σοι ἡλικίη τερψίμβροτος ἠΰτε φέγγος
Ἔσται, ὅτ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει
Ἠδύ τι μειδιόων, γάνυται δέ τε ἄσπετος αἰθὴρ
Παντόθεν, λευκὴ δὲ πόλον περιδέδρομεν αἴγλη.
Φαίδιμος ἐκλάμψεις, καλῇ ἐναλίγκιος ἠοῖ.
18 Ἀσκηθὴς ἔσσεαι, καὶ ἄφροντις, καὶ εὔελπις.
Καί σοι ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἔσται·
Ἀμφί τέ σοι, κλεάων τε τεῶν πέρι τάφρον ὀρύξεις.
Ἥσυχα κοιμήσῃ πάσης ἀπάτερθε μερίμνης.
19 Κείσεαι ἐν εὐνῇ, φόβον δέ σοι οὔτις ἐνόρσει·
Πολλοί σε λιτανεύσουσιν τεὰ γοῦνα λαβόντες.

Ὀσσ

Cœlum ſtellatum, & inferiùs ipſo
Inferno, ubi profundiſſimum ſub terra eſt barathrum:
Quid ergò tu facere potes? quid & tu cognoſcere?
Longiùs tellure eſt immenſâ, quæ maximè
In longitudinem extenſa eſt ſub ſplendido Olympo;
Neque latitudo tanta eſt ingentis Oceani
Terribilis, qui terram vaſtam circundat.
Si reſcindit, & coërcet viros peccatores,
Sive ſuos ſervos confertòs in unum congregat
Omnino, quis ei opus exprobrabit, quale fecit?
Novit enim vanos homines, quòd ſunt inanes;
Vidit nequitiam, & iniquitatem animadvertit.
Nequam homo, natus licèt homo tanquam pullus onagri,
Vult altum ſapere, præque omnibus ſcire aliis.
Si utique tibi propenſum cor, & animus paratus,
Geſtiit autem precibus ſupplicationibúsque placidis,
Manibúsq; extenſis promptus Deum placare;
Si malitiam abjeciſti tuis de manibus (vit:
Procul admodum, nec ulla improbitas tua in domo habita-
Tum tibi claritate ſplendebit immaculata facies,
Pulchritudine & gratiis magnopere fulgens, & juventute.
Stabis firmiter, tremor nec membra ſubmovebit.
Sed tuæ oblivíſcêris ærumnæ, & dolorum
Omnium qui te irritant: tuus tranſibit mœror
Facilè admodum, quaſi fluctus multiſoni maris.
Tua autem ætas jucunda veluti lux
Erit, cùm ſol medium cœlum conſcendit
Suave quid ſubridens, renidétq; ingens æther
Undiquaque, albus autem polum circundat ſplendor,
Illuſtris effulgebis, pulchræ ſimilis auroræ.
Tutus eris & ſecurus, & bonam-ſpem-habens;
Et tibi in pectoribus imperterrita mens erit:
Circáque te, circáque poſſeſſiones tuas vallum fodies.
Tranquillè dormies abſque omni moleſtia.
Jacebis in lecto, timorem verò tibi nemo incutiet.
Multi tibi ſupplicabunt, tua genua prehendentes.

20 Ὄσσε κακῶν τέξονται, ἵν᾽ οὐ σφισι φυκτὰ πέλωνται,
Ταῦτα δὲ καὶ ἐλπωρὴ ὡς πνεύματος ἔσσετ᾽ ἀϋτμή.

ΚΕΦ. ιβ΄.

1 ΤΟὺν δ᾽ ἄρ᾽ ὑποβλήδην ἠμείβετο δῖος Ἰώβος,
Αἰὲν ἐνὶ στήθεσσι νόον πολυτλήμονα νωμῶν·
2 Ὦ φίλοι, ἦ ῥ᾽ ὔμμες μόνοι ἀνέρες; ἦ νυ παρ᾽ ὔμμιν
Ἐστὶν ἐχεφροσύνη μούνοισι καὶ ὔμμιν ὀπηδεῖ,
Δύσει δ᾽ εἰς ἀΐδην, ὑμέων κατατεθνειώτων.
3 Καί μοι μὲν νόος ἐστ᾽· ὑμέων δ᾽ οὐκ εἰμὶ χερείων.
Ἀλλὰ τίς οὐ σάφα οἶδεν ὅπως τοιαῦτα πέλονται;
4 Εἰμ᾽ ἐγὼ οἷος ἀνὴρ χαλεπῷ δεδμημένος ἄτῃ,
Ὃς μὲν ἑοῖς ἑτάροισιν ἔτησί τε παίγνιον ὦφλεν,
Οἳ δὲ καὶ ἀγνυμένῳ τῷ ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν.
Ὅς κε Θεὸν λιτανεύσῃσιν, μάλα τ᾽ ἔκλυεν αὐτοῦ.
Πάντοσε γὰρ χλεύασμα γενήσεται ἀνδρὶ δικαίῳ.
5 Ὅσπερ ὀλισθαίνων ἔσεται σφαλεροῖσι πόδεσσιν,
Ὡς δαΐς ἄλλοισιν δοκεῖ, οἳ δὴ μὲν εἰσορέουσιν
Ἀσφαλέες πέρας ὥς, καί τε στυγέουσιν ἰδόντες.
6 Οἰκία λῃϊστέων, καὶ εὐφροσύνησι δίαιτα
Πολλὴ ἐνὶ θαλίῃσι διαμπερὲς εἰρήνευσιν·
Οἵ τ᾽ ἐρέθουσι Θεόν, τοῖσιν Θεὸς ὄλβον ὄρεξε,
Καί σφιν θεσπέσιον πλοῦτον κατέχευεν ἐπ᾽ ἦμαρ.
Ἀσκηθέες ζώουσι, Θεοῦ ὄπιν οὐκ ἀλέγοντες.
7 Θηρία νῦν ἐρέεινε, διδάξουσιν δέ σε θῆρες·
Καὶ πετεηνὰ μετάλλα, ἀπαγγελέει δέ τοι ὄρνις·
8 Ἠὲ διείρεο γαῖαν, ὑποκρίνεται δέ τέ σε χθών·
Σοί τ᾽ ἰχθῦς ἐρέουσιν, ὅσους τρέφει οἶδμα θαλάσσης.
9 Πᾶσι γὰρ ἐν τοῖσδεσσι τίς οὐ τόδε μὲν δεδάηκεν,
Ὡς τάδε πάντα Θεοῦ παλάμη εἰργάσατο μούνη;
10 Τοῖο καὶ ἐν χερσὶ ζωόντων πνεύματα πάντων,
Ἆσθμά τε καὶ ψυχὴ μερόπων ἰδὲ γενέθλης.
11 Οὐκ ἐπέων φθόγγους κρίνει ἀκουόμενον οὖας;

Οὐ

Oculi malorum contabeſcent, ut non ſit iis effugiendi co-
Eorum etiam ſpes ſicut ſpiritûs erit exhalatio. (pia,

CAP. XII.

ILli autem intercepto ſermone reſpondit divinus Jobus,
Semper in præcordiis mentem patientem verſans;
O amici, certè vos ſoli viri; certè apud vos
Eſt prudentia, ſolis & vobis ſuppetit,
Deſcendétq; ad inferos, vobis mortuis.
Etiam mihi intelligentia eſt; vobis autẽ non ſum inferior.
At quis non certò novit quomodo hujusmodi res ſe habeant?
Sum ego, qualis vir gravi domitus ærumnâ,
Qui ſuis affinibus amicisque ludibrio exponitur,
Qui etiam quamvis mœſto ſuper ipſo ſuaviter riſerunt.
Quicunque Deo ſupplicaverit, *Deus* valde audivit ipſum.
Undique enim irriſio fiet viro juſto.
Qui labens cecidit lubricis pedibus,
Sicut lampas aliis videtur; hi autem illum intuentur
Incolumes ſicut portentum, & deteſtantur videntes.
Domicilia prædonum, & florens ſtatus
Multa in proſperitate perpetuò pace-fruuntur.
Quique irritant Deum, iis Deus opes præbuit,
Et ſuper ipſos ingentes divitias fudit indies.
Salvi vivunt, Dei ultionem non curantes.
Beſtias nunc interroga, docebunt verò te feræ:
Et volatilia inquire, annunciabit autem tibi avis:
Vel ſciſcitare terram, ſuggerétque tibi tellus;
Tibíq; piſces narrabunt, quotquot nutrit unda maris.
Omnibus enim in iſtis quis unum hoc non novit,
Quòd hæc omnia Dei manus operata eſt ſola?
Cujus etiam in manibus viventium ſpiritus omnium,
Spiraculum etiam & anima humani eſt generis.
Nonne verborum ſonos diſcrevit acutò-audiens auris?
Nonne

Οὐ μάσαξ εὖ οἶδεν ἐδητύος ἠδὲ ποτῆτος
Γεύσασθαι, ἢ ἀνδρὸς ἀκοὴ φρεσὶν, ἠὲ καὶ οὐκί;
12 Οὕτω πρεσβυτέροις πολυϊδρείη τε νόοιο,
Ἤματι καὶ πολλοῖσιν ἐχεφροσύνη ἅμ᾽ ὀπηδεῖ.
Οἱ γὰρ μακρόβιοι πολυΐστορες, οἵ τε γεραιοὶ
Μῆτιν ὀφέλλουσι ζωῇ ἅμ᾽ ἀεξομένῃφι.
13 Τοὔνεκα παμβασιλῆϊ πάρα φρένες εἰσὶ καὶ ἀλκή·
Ὃς περὶ μὲν βουλῇ μερόπων, περὶ δ᾽ ἐστὶ νοῆσαι
Συμπάντων. ἐπεί οἱ ἀπερείσιος ἔπλεται αἰών.
14 Κάββαλε καὶ κατέλυσε· τίς ἂν πάλιν οἰκοδομήσῃ;
Κλῇξέ τε καὶ συνέερξεν ὁμοῦ· τίς ἂν αὖτις ἀνοίξῃ;
15 Ἰσχανάᾳ μὲν ὕδωρ, ἀπὸ δὲ χθονὸς ἀρδμὸν ὄλεσσεν·
Ἂψ δ᾽ ὄμβρους καθέηκε βαρυνομένων νεφελάων,
Ἡ δ᾽ ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβρυθε χθών.
16 Πὰρ δέ οἱ ἐστὶ βίη, καὶ ἐχεφροσύνη ἐρατεινή.
Ἀμφότεροι δ᾽ ἄρα τοί γε Θεοῦ μεγάλοιο ἕκητι,
Ὅς τε κακὴν ἀπάτην βουλεύεται, ὅς τ᾽ ἀπατᾶται,
Ὅς τ᾽ ὀλοοῖσι δόλοις ἀγρεύεται, ὅς τ᾽ ἀπαφίσκει.
17 Ἄλλοτε μὲν τ᾽ ἀρχοὺς πυκινὰ φρεσὶ μήδε᾽ ἔχοντας
Συλήσας ζώγρησε, νόον δ᾽ ἀπόλεσσε δικαστέων·
18 Ἄλλοτε δ᾽ αὖ ἔῤῥαισεν ὑπερμενέας βασιλῆας,
Λῦσε γὰρ καρτερὰ δεσμὰ τυραννίδος, εἶρξε δ᾽ ἄρα σφέας
Δήσας ἐν φυλακῇ, περὶ γὰρ ζώνην βάλετ᾽ ἰξυῖ.
19 Δημοβόρους λαῶν ἡγήτορας ἠδὲ μέδοντας
Ἠνορέῃ πισύνους, τῶν τε σθένος οὐκ ἀλαπαδνὸν,
Τεύχεα συλήσας ἄγαγε, καὶ χρήματ᾽ ἀπηύρας.
20 Πολλάκι κεδνοτάτων μύθους ἀλίωσεν ἑταίρων·
Εἴ τι μετ᾽ ἀλλήλοισιν ἔπος θυμαρὲς ἔειπον
Ἐσθλὸν, ἄφαρ τὸ φέρουσιν ἀναρπάξασαι ἄελλαι.
Ἀνδράσι πρεσβυτέροις γενεῇ νηκερδέα βουλὴν
Ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς.
21 Ἀρχοῖσιν δ᾽ ἐπέχευε κατηφείην καὶ ὄνειδος·
Οἱ δέ τ᾽ ἄφαρ τελέθουσιν ἐλέγχιστοι ζωόντων.
Καὶ βριαρῶν ἀλάπαξε κράτος μέγα, λῦσε γὰρ μίτρην
Αἶψα· γὰρ τῶν οὐκ ἔστιν ἀφαυρότερος βροτὸς ἄλλος.
22 Ὅσσα γὰρ κεκρύφαται μυχάτοις ὑπὸ κεύθεσι γαίης,

Βυσσόθεν

Nonne os bene novit eſcam & potum
Guſtare, ſive viri arridet animo, ſive non?
Ità ſenioribus peritia mentis,
Diebúſq; multis prudentia adeſt.
Certè enim longævi *ſunt* multiſcii, ſenéſque
Conſilium augent unà cum vita creſcente.
Idcirco omnium regi adeſt prudentia, & robur;
Qui ſuperat homines tum conſilio, tum intellectu
Omnes, quandoquidem ei interminatum ſtat ævum.
Dejecit & diſſolvit, quis rurſus ædificabit?
Concluſit & coërcuit ſimul, quis iterum aperiet?
Cohibuit aquam, tellurem autem irrigatione deſtituit:
Rurſus autem imbres demiſit gravatis nubibus;
A turbine autem omnis nigra gravatur terra.
Præſtò autem ei eſt vis, & prudentia amabilis.
Utrique autem hi *ſunt* Dei magni voluntate:
Quique malam fraudem ſtruit, quíque fallitur;
Quique exitialibus dolis capitur, quíque decipit.
Nunc quidem principes prudentia mente conſilia habentes
Spoliatos captivos-duxit, infatuavit autem judices.
Nunc verò rurſus profligavit præpotentes reges,
Solvit autem fortia vincula tyrannidis, incluſit autem ipſos
Vinctos in carcere, zonam autem circundedit lumbis.
Plebis-voratores populorum ductores & principes
Robore fretos, quorum vires non infirmæ,
Armis ſpoliatos abduxit, & opibus privatos.
Sæpe chariſſimorum ſermones caſſavit ſodalium:
Siquid inter ſe invicem verbum gratum dixerunt
Bonum, ſtatim id ferunt abripientes procellæ.
Viris ſenioribus natu futile conſilium
In pectoribus poſuit, & abſtulit mentem ſanam.
Super principes fudit probrum & ignominiam;
Illi autem ſtatim fiunt contemptiſſimi viventium.
Et ſtrenuorum evacuavit robur magnum, ſolvit autem cingu-
Mox verò his non eſt infirmior mortalis quiſquam. (lum;
Quæcunque autem occulta erant intimis ſub penetralibus
terræ,
Ab

Βυσσόθεν ἐξέρυσεν, μέσσης δ' ἔκτοσθεν ὀμίχλης
Ἐξάγαγε προφόωσδε σκιὴν θανάτοιο μέλαιναν.
23 Ἔθνεα πολλὰ δ' ἄεξε, πάλιν δ' ἀπὸ δῆμον ὄλεσσε·
Φῦλα διαρρυίεσκε, πάλιν μινύθεσκε δὲ λαούς.
24 Ῥηϊδίως ἐφόβησεν ἐπιχθονίους βασιλῆας,
Τῶν δὲ βίην ἔκπερσε καὶ ἰφθίμων περ ἐόντων·
Ἀχνυμένοις ἄρα τοῖσι κατεκλάσθη φίλον ἦτορ,
Ἐν δ' ἀβάτῳ πλαγχθέντες ἀλητεύουσιν ἐρήμῳ·
25 Ψηλαφόωσι δὲ χερσὶν ἐνὶ ζόφῳ ἠερόεντι,
Οὐδ' ὁρόωσι φόως, ἀλαλήμενοι ὡς μεθύοντες,
Τοῖς οἴνοιο μένος φρένας οὔτασε, λῦσέ τε γυῖα.

ΚΕΦ. ιγ'.

1 Ὦ φίλοι, οὐκ ἀδαεῖ παρ' ἐμοὶ τάδε πάντα βέβακται·
Οἶδα δὲ, καὶ δεδάηκα, καὶ ὀφθαλμοῖσιν ὄπωπα,
Πυνθανόμην ἄρα τῆς γε, καὶ ἔκλυον οὔασι φήμης.
2 Οἶδα δ' ἐγὼ τόσπερ ὔμμες· ἐπεὶ οὐκ εἰμὶ χερείων
Οὐ φρένας οὔτε φυὴν ὑμέων πύκα περ φρονεόντων.
3 Ὡς ὄφελον Θεῷ εἰπέμεναι· κέλεται δέ με θυμὸς
Ἀθανάτῳ βασιλῆι δίκης ἕνεκα προσφέρεσθαι,
Δεικνύμεναί τε λόγους, κρατερόν θ' ὑποδύμεν' ἀγῶνα.
4 Ὑμεῖς δὲ ψεῦσται, καὶ ἀτάσθαλοι ἠπεροπῆες,
Τυκτοῖσι ψεύδεσσι κεκασμένοι ἐν μερόπεσσιν.
Ἰητρὸς μὲν ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων,
Ὑμεῖς δ' ἰητροὶ ἀποφώλιοι, οὐτιδανοί τε,
Σχέτλιοι, οὐδέ που οἴδατ' ἐμὸν ἄχος ἐξακέσασθαι.
5 Μή νύ μοι οὖν τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Εἴθε σιωπήσαιτε πάνυ, λήξαιτε δὲ μύθων·
Τῷ κε τάχα φρονίμοισιν ἐοικότες ἀνδράσιν εἶτε.
7 Λαβραγόραι ἔσεσθε, Θεοῦ ἐπίηρα φέροντες;
Υ̓́μμι δὲ τοῦδ' ἕνεκεν φίλον ἐστ' ἀνεμώλια βάζειν;

Ab imo extraxit, mediámq; extra caliginem
Eduxit in-lucem umbram mortis atram.
Nationes multas auxit, rurſum autem populum perdidit;
Gentes dilatavit, iterum verò diminuit populos.
Facilè conſternavit terreſtres reges,
Eorúmq; vires vaſtavit, tametſi ſtrenui fuerint;
Mœrentibus utique iis fractum eſt charum cor,
Inq; invia palantes errant eremo.
Palpant autem manibus in caligine obſcura,
Nec aſpiciunt lucem, vagantes tanquam ebrii,
Quibus vini robur mentem ſauciavit, ſolvítque membra.

CAP. XIII.

O Amici, non ignarum apud me hæc omnia dicta ſunt:
Novi autem & didici, & oculis vidi,
Audivi utique iſta, & percepi auribus famam *eorum.*
Scio autem ego quod vos *ſcitis*; ſiquidē non ſum inferior
Nec mente nec indole vobis valde licèt prudentibus.
Utinam Deum mihi alloqui liceat! hortatur autem me (animus
Immortali Regi judicii litem offerre,
Oſtenderéq; ſermones, durúmque ſubire certamen.
Vos verò mendaces & improbi impoſtores,
Fabricatis mendaciis inſtructi inter homines.
Medicus quidem vir multorum inſtar aliorum eſt:
Vos autem medici futiles, nulliúsque momenti,
Miſelli, necdum nôſtis meum dolorem ſanare.
Nè mihi ergò obſtrepatis aſſidentes aliunde alius.
Utinam obmuteſceretis prorſus, & deſiſteretis à ſermoni- (bus,
Unde mox prudentibus ſimiles viris efficia.
Audite meos ſermones, mala licèt loquentes ſocii,
Et percipite noſtrorum ratiocinativa verba labiorum.
Loquaces eritis, Deo gratificantes?
Vobíſque illius gratiâ placitum eſt vana dicere?

Nunquid

8 Ἦ ῥά ποτ' εἰνὶ θέμιστι συνήγοροί ἐστε Θεοῖο;
Ἠὲ οἱ εἰνὶ δίκῃ χάριν οἴσετες καὶ χάρ' αὐτοῦ
Ἀντιβίοις ἐείσαντες ἑὸν λήψεσθε πρόσωπον;
9 Ὡς ὄφελ' ὑμέτερόν τε νόον (τόδε λωΐτερον εἴη)
Δίζεσθαι τ' ἐιρυσθαι, ὑμέων δέ τε πειρητίζειν.
Τὸν μυκτηρίσειθ' ὥσπερ ἀνὴρ ἐγκλοίασιν ἄνδρα;
Ἠὲ τίς ἐξ ὑμέων τλαίη οἱ ἐφεψιάασθαι;
10 Εἰ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνητε θέμιστας,
Ἄλλως σινόμενοί τε, χάριν τ' ἄλλοισι φέροντες
Λάθρῃ, ὁ δὲ ὑμετέρης ἐπιμέμψεται ἀμφαδὸν ἄτης.
11 Οὐχ ὑμέας ἑὸ κῦδος ὑπείροχον αἰνὰ ταράξει;
Δεῖμα δὲ θεσπέσιον, τάρβος τ' ἔκπαγλα φοβήσει;
12 Μνῆμαι δ' ὑμέτεραι τέφρῃ τελέθουσιν ὁμοῖαι,
Σώματα δ' ἠπεδανοῦ ἐναλίγκια σώμασι πηλοῦ.
13 Σιγᾶτ', ἐστὲ δ' ἀκὴν, καὶ ἐάτε με νῦν ὀλίγον περ,
Ὄφρ' ὑμῖν μάλα πᾶσαν ἀληθείην καταλέξω.
Ἀθανάτοις με κολάζοι ὅπως ἀντάξιόν ἐστιν,
Ἔρδοι ὅπως ἐθέλει, καί οἱ φίλον ἔπλετο θυμῷ.
14 Τίπτε δ' ἀεικέλιον χέρα μευ κακά θ' ἕλκεα σαρκὸς
Λάζομ' ὀδὰξ, κόνιος δεδραγμένος αἱματοέσσης;
Τίπτε δ' ἐμὴν ψυχὴν παραβαλλόμενος περιάπτω
Ναιλεμέως, ἣ δ' αἰὲν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς;
15 Ἤν με κατακτείνῃ, πίσυνος δέ οἱ ἔσσομαι ἔμπης,
Τῷ τ' ἐπιθαρσήσω, καὶ ἐν μέσσῳ περ ὀλέθρου·
Ἀλλὰ καὶ ὧς ἔθεν ἄντα δικαιοσύνην μευ ἐλέγξω.
16 Καί μοι ἐπίρροθος ἔσται, ἐμῆς καὶ φέγγος ὀπωπῆς.
Οὐ γὰρ ἑὸ προπάροιθε φανήσεται ἠπεροπευτής.
17 Οὔατά μοι προσερεῖσατ', ἐμῆς δ' ἐπικέκλυτε φωνῆς,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
18 Νῦν γὰρ ἔταξα δίκην, καί μοι θώρηχθεν ἔλεγχοι
Πανσυδίῃ, πυκινὰς δὲ λόγων ἤρτυνα φάλαγγας
Ἄγριον ἐς πόλεμον, μέμασαν δέ τε ἶφι μάχεσθαι.
Οἶδ' ὅτι νικήσω, καὶ ἀναίτιος αἶψα φανοῦμαι.
19 Τίς μοι νῦν ἐρίσει τε, καὶ ἐν δίκῃ ἀντιβολήσει;
Εἰ δ' οὕτως ἀκέων ἧμαι τετιημένος ἦτορ,
Αὐτίκ' ἀποπνεύσω, στυγνῆς δέ με δέσματ' ἀπάγξει.

Ἀλλ'

Nunquid in judicio patroni eſtis Dei?
Vel num ei in jure gratiam facietis? & pro eo
Contrariis *verbis* decertantes ejus accipietis perſonam?
Utinam *Immortalis* veſtram mentem (hoc ſatius eſſet)
Conſiliáque ſcrutaretur, vóſque exploraret!
Eúmne irridebitis ſicut vir irriſit virum?
Aut quis è vobis auſit ei convitiari?
Si vi in foro, iniquo-jure judicatis cauſas,
Alios lædentes, aliiſque gratificantes
Clanculum, is veſtrum redarguet propalam peccatum.
Nonne vos ejus gloria excellens mirè turbabit?
Terrórq; cœleſtis, pavórque vehementer conſternabit?
Memoriæ autem veſtræ cineri ſunt ſimiles,
Corpora autem infirmi ſimilia corporibus luti.
Silete, conticeſcite, & ſinite me nunc vel paululùm,
Ut vobis prorſum omnem veritatem dicam.
Immortalis me puniat ſicut par eſt,
Faciat prout vult, & ei placitum eſt animo.
Utquid verò deformem cutem meam maláq; ulcera carnis
Prehendo mordicus, pulverem ſtringens ſanguinolentum?
Utquid autem meam animam exponens projicio
Continuè, hæc autem ſemper in novaculæ ſtat acie?
Etiamſi me occiderit, fretus tamen eo ero nihilominus,
Eiq; confidam, vel in media morte:
Verùm & ſic coram eo juſtitiam meam evincam.
Et mihi auxiliator erit, mei & lumen vultûs,
Non enim in ejus conſpectu apparebit hypocrita.
Aures mihi inclinate, meámque percipite vocem,
Ut dicam quæ me animus in pectoribus jubet. (menta
Nunc enim ordinavi cauſam, & mihi armata ſunt argu-
Omnibus-copiis, denſáſque rationum inſtruxi turmas
Sævum ad bellum, promptæq; ſunt fortiter pugnare.
Scio quòd vincam, & inſons ſtatim apparebo.
Quis mecum nunc contendet, & in jure obviàm-ibit?
Quòd ſi ſic obmuteſcens ſedeo mœſtus corde,
Mox expirabo, ſilentii autem me vincula ſuffocabunt.

20 Ἀλλ' ἐλέαιρε ἄναξ, ϗ ἵλαον ἔνθεο θυμὸν,
Καὶ κακὰ νῦν ἀπ' ἐμεῖο δύω τάδε νόσφιν ἐρύκοις,
Τολμήσω δ' ἄρ' ἔπειτα σέο προπάροιθεν ἱκέσθαι·
21 Πρῶτα μὲν ἓν ἀπ' ἐμεῖο βαρείας χεῖρας ἀπίσχειν,
Εἶτα δὲ θεσπεσίοις σέο δείμασι μή με ταράσσειν.
22 Τόφρα σὺ μέν με κάλεσσον, ἐγὼ δ' ἀπαμείψομαι αὖτις
Ἢ ϗ ἐγὼ προφθὰς ἐρέω, σὺ δ' ἀμείβεο μύθῳ.
23 Πόσσαι ἀτασθαλίαι, πόσα μευ ἀλιτήματα; δεῖξον
Ἀμπλακίην μοι ἐμὴν ϗ ἁμαρτάδα, ὄφρα δαείω.
24 Τίπτε δέ μευ ἀπάτερθε τεὴν ἔκρυψας ὀπωπήν;
Καὶ ὡς ἐχθρῷ ἐόντι ὀδυσσάμενος χαλέπτεις;
25 Φύλλον ἀποθραύσεις δεδονημένον ἔνθα ϗ ἔνθα;
Ἠέ τε καρφαλέην καλάμην μάστιγι διώξεις;
26 Καὶ δ' ἐμέθεν μάλα πολλὰ κάκ' ἔγραφες, ὡς ἐνὶ βίβλῳ,
Πικρά τε ϗ στονόεντα, τά τ' οὐκ ὄφελ' ἐς φάος ἐλθεῖν.
Ἠδέ μοι ἀμπλακίας σφαλερῆς προτέρης ἥβης·
Ὅσσα τ' ἔρεξα πάλαι ἐνὶ νηπιέῃ ἀλεγεινῇ,
Τῶν νῦν μ' ἐμνήσας, τά τε νῦν δύστηνος ἐπαυρῶ.
27 Ἀμφὶ δὲ ποσσὶν ἐμοῖς, ἵνα μήποτε φυκτὰ πέλωνται,
Χοίνικάς τε πέδας τ' ἔβαλες, ϗ ἀεικέα δεσμά.
Ἴχνια μευ ἐπὶ πάντα μάλ' ἀκριβὲς ὄμμα τίτηνας,
Καὶ σφρηγῖδ' ἐπέθηκας ἐμοῖιν περὶ ταρσὰ ποδοῖιν.
28 Ὧδε δέ τις εἴποι κεν ἰδὼν ἐς πλησίον ἄλλον,
Οὐχ ὁράας ὡς οὗτος ἐν ἀφραδίῃσιν ἑῇσι
Πρόχνυ κακῶς ἀπόλωλε, ϗ ὡς σαπρόν τι τέτυκται,
Εἵματά θ' ὡσεὶ ἅ τε σητὸς ἔλωρ ϗ κύρμα γένηται;

ΚΕΦ. ιδ'.

1 Ἀνὴρ θνητὸς ἐὼν μινυώριος ἐς' ἐπὶ γαίης,
Ὅν περ ἔτικτε γυνή, ϗ ἔδει Δημήτερος ἀκτῆς,
Καὶ ζώει οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα,
Ἐξ ὀλιγοπελίης ζώων περὶ κάμμορος ἄλλων.
Οὐ μὲν γάρ τί που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς

Πάντω

At miſerere, O Rex, & propitium ſume animum,
Et mala nunc à me duo hæc procul abigas,
Audebo utique deinceps coram te venire.
Primùm quidem à me graves manus abſtine,
Deinde verò mirificis tuis terroribus nè me perturba.
Tum tu me voca, ego autem reſpondebo viciſſim,
Vel etiam ego præveniens dicam, tu autem excipe ſermone.
Quot iniquitates? quot mea *ſunt* delicta? oſtende
Errorem mihi meum & peccatum, ut ſciam.
Quare autem à me tuum abſcondiſti vultum?
Et quaſi inimicus fuerim, iratus *mihi* ſuccenſuiſti?
Folium contundes agitatum huc & illuc?
Vel num aridam ſtipulam flagello perſequêris?
Contra me plurima mala ſcripſiſti tanquam in libro
Acerbáque & funeſta, quæ utinam in lucem non veniant.
Et me peccatis lubricæ circundediſti adoleſcentiæ,
Quæque patravi olim in infantia miſeranda,
Eorum nunc me commonefeciſti, eáque jam infelix luo.
Pedibus verò meis, nequando poteſtas effugiendi ſit,
Cippóſque compedéſque circunjeciſti, & indecora vincula.
Veſtigia mea ſuper omnia valde ſeverum oculum extendiſti,
Et ſigillum impoſuiſti meorum circa plantas pedum.
Sic autem quis dicere queat intuens vicinum alium,
Nonne vides ut hic ſtultitiâ ſuâ
Funditus malè periit, & velut putridum quiddam conteribuit,
Et ſicut veſtimenta, quæ tineis præda & eſca ſiunt?

CAP. XIIII.

HOmo mortalis exiſtens brevis-ævi eſt ſuper terra,
Quem peperit mulier, & odit Ceteris fructum;
Et vivet non multo tempore, ſed paululùm,
Propter languorem præ animalibus infauſtion aliis,
Non enim quidpiam uſquam eſt ærumnoſius homine

 Omnium

Πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
2 Γίγνεται ὡς ἄνθος, καὶ ἀνέδραμεν ἔρνεϊ ἶσος,
Μήτηρ μέν μιν ἔθρεψε φυτὸν ὡς γουνῷ ἀλωῆς,
Ἀλλ' ἅμα τ' ὠκύμορος, καὶ ὀϊζυρὸς περὶ πάντων
Ἔπλετο, τὸν ἑ κακῇ αἴσῃ τέκε θρέψε τε μήτηρ·
Τεμνόμενος γάρ τ' αὐτίκ' ἀμειδέϊ κάρφεται ὥρῃ·
Οἴχετ' ἀποπτάμενος σκιῇ ἴκελος, ἢ καὶ ὀνείρῳ,
Μίμνει δ' ἐν ζωοῖσι μίνυνθά περ, οὔτι μάλα δήν.
3 Ἦ ῥα σὺ τὸν τοιόνδ' ἐπιδέρκεαι ὀφθαλμοῖσιν
Ὀξὺ μάλ' ἀμπλακίας καὶ σφάλματα πάντα νοήσας;
Ἠδὲ δικαζομένῳ μοι ἐπαπτείας ἐν ἀγῶνι;
4 Ἀλλὰ τίς ἐκ μιαροῦ καθαρὸν δύναιτ' ἐξερύσασθαι;
Ἢ τίς ἁγνὸς ἀνὴρ ἐκ γαστέρος ἦλθε γυναικός;
5 Ἤματα πέπρωται ἑά, παρὰ δὲ σοί ἐστιν ἀριθμὸς
Μηνῶν, ὧν τελέειν οἱ ἐπὶ χθόνα θέσφατόν ἐστι.
Τέρματά θ' οἱ ἔστησας, ἃ οὐκ ὀλίγον περ ὑπερβῇ.
6 Τῷ μιν ἔα, ἵνα τυτθὸν ἀναπνεύσῃ κακότητος,
Εἰσόκεν ὡς μισθωτὸς ἑὸν δρόμον ἐκτολυπεύσῃ.
7 Ἐλπὶς μὲν δενδρέῳ πέλεται, ταναηκέϊ χαλκῷ
Εἴ περ τεμνόμενον τέρενα χθονὶ φύλλα πελάσσῃ·
Ἂψ δ' ἀναθηλήσει τε, πάλιν δέ τε φύλλα καὶ ὄζους
Φύσει, ἐπειδὴ [illegible] τομὴν ἐν ὄρεσσι λέλοιπεν.
8 Εἴ περ γηράσκῃ ῥίζα ἐνὶ διψάδι γαίῃ,
Ξηρὸν δὲ στέλεχος πολλοῦ θανέῃσιν ὑπ' αὐχμοῦ·
9 Ἀλλά γε καὶ μετέπειτα φιλοζώῳ τινὶ φύσει
Βλαστήσει, ὅταν ἀρδμοὶ ἐπηετανοὶ παρέωσι·
Τοῖς δὲ νεόθρεπτον γάνυται φυτόν, ὡς τὸ πάρος περ,
Καὶ βρύει ἄνθεσιν αὖτις, ἐπεὶ ἅλις ἰκμάδα πίνει.
Εἴ περ γάρ τε μαρανθῇ ἐπὶ χρόνον, ἀλλὰ τόδ' αὖτις
Ζωγρεῖ ἐπιπνείουσ' ὑδάτων φυσίζοος ὀδμή.
10 Αὐτὰρ ἀνήρ, ἀλαπαδνὸς ἀνήρ, ταχύποτμος ἀφάρτη,
Θυμὸν ἀποπνείει δειλὸς βροτός, ἠδὲ ποῦ ἐστιν;
11 Ὡς δ' ἔφθιεν ὕδωρ πολιῆς ἁλός, ὑψόσε δ' ἀτμὶς
Ἕλκεται ἠελίοιο βίῃ, μινύθει δέ τε πόντος·
Ὥς τ' ἀπόλωλε ῥόος ξηραινομένου ποταμοῖο·
12 Ὣς βροτὸς ἐν κονίῃ κοιμώμενος οὔποτε μέλλει

Αὖτις

Omnium quæcunque ſuper terram ſpirántque & ſerpunt.
Naſcitur tanquam flos, & crevit plantæ ſimilis,
Mater quidem eum nutrivit plantam ceu in fœcunda terra,
At ſimul & citò-moriturus & ærumnoſus ſupra omnes
Eſt: idcirco eum malo fato peperit nutrivítque mater:
Succiſus enim ſtatim triſti marceſcit horâ;
Abit avolans umbræ ſimilis aut ſomnio;
Manet autem in vivis paululùm, non admodum diu.
Nunquid tu talem intueris oculis,
Acriter admodum errores & lapſus omnes obſervans?
Et in-jus-vocato mihi occurris in lite?
Verùm quis ex immundo mundum poteſt extrahere?
Aut quis purus vir ex utero venit mulieris?
Dies ejus ſtatuti ſunt, apud te autem eſt numerus
Menſium, quos conſummare ei ſuper terram decretum eſt,
Limitéſq; ei fixiſti, quos nè tantillùm quidē transgredi que-
Idcirco mitte eum, ut paululùm reſpiret ab ærumna, (at.
Donec, ut mercenarius, ſuum curſum finierit.
Spes quidem arbori eſt, acuto ære
Quamvis reciſa tenera terræ folia admoverit:
Iterum tamen regerminabit, rurſúſque folia & ramos
Producet, poſtquam primùm inciſionē in montibus reliquit.
Etiamſi ſeneſcat radix in ſitienti terra,
Aridus autem truncus multo moriatur præ ſqualore;
Tamen etiam poſtea vivaci quadam naturâ
Pullulabit, cùm irrigationes copioſæ adſuetint:
Iis autem recens-nutrita lætificatur planta, ut priùs,
Et floret floribus rurſus, poſtquam ſatis humorem bibit.
Etſi enim marcuerit in tempus, tàmen eam rurſus
Vegetat aſpirans aquarum vivificus odor.
At homo, infirmus homo citò-moriens abrepit,
Animam exhalat miſer mortalis, & ubi eſt?
Sicut autem deficit aqua cani maris, ſurſum verò exhalatio
Trahitur ſolis vi, diminuitur autem pontus;
Utque perit fluentum ſiccato fluvio:
Sic homo in pulvere dormiens, nunquam futurus eſt

Αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
Οὐδ' ἀπονοστήσειν πρὶν ἢ οὐρανὸν ἀστερόεντα
Μηκέτι τῆς γαίης ὑπερέμμεναι, ἀλλὰ μάλ' αἰεὶ
Κεῖσθαι ἀσφαλέως, κρατερῷ δεδμημένος ὕπνῳ.
13 Αἴθε με εἰνὶ τάφῳ γαίης ὑπένερθε καλύψας
Ἐνδόμυχον θείης, χόλον εἵνεκα σὸν καταπέψῃς.
Αἴθε τε μοι καιρὸν τάξαις, μνήσαιό τ' ἐμεῖο.
14 Εἴ τις ἀνὴρ τέθνηκε, πάλιν ζωοῖσι μετέσται;
Τῷ κ' ἐγὼ αἰῶνος πεπρωμένα ἤματα πάντα
Νωλεμέως μενέω ποτιδέγμενος, εἵνεκα ζωῆς
Μοῖραν ἀναπλήσαντα τέλος θανάτοιο κιχείη.
15 Τόφρα σὺ μὲν καλέσεις με, ἐγὼ δ' ἀπαμείψομαι αὖτις.
Ἱμερόεντα δέ τοι, καὶ σοῦ κεχαρισμένα θυμῷ
Ἔσσεται σέθεν ἔργα, τεῶν δαιδάλματα χειρῶν.
16 Πάντα μάλ' ἴχνια μευ πεμπάζεαι ὀξὺ νοήσας,
Ταρσὰ δ' ὀπιπεύεις ἢ ἔνθ' ἢ ἔνθα κιόντος.
Ἐστὶ δ' ἐμῶν ἔρκος καὶ ἐπίσκοπος ἀμπλακιάων.
17 Ἡ μευ ἀτασθαλίη σφρηγίζεται, ὡς ἐνὶ πήρῃ,
Τὰς δὲ κακορραφίας ἐμέθεν σύρραψας ἀπάσας.
18 Οὔρεα μὲν σκιόεντα κατήριπεν ἐν κονίῃσιν,
Ὑψηλῶν ὀρέων κορυφαὶ καὶ πρώονες ἄκροι
Ἔφθιατ' αὐτῇσι ῥίζῃς, τετάρακτο δ' ἔνερθε
Γαῖα, καὶ ἠλιβάτων πετρῶν δεδόνητο θέμεθλα.
19 Λᾶα λέηνεν ὕδωρ, λιχὴν δ' ἀναδέδρομε πέτρῃ,
Καὶ χαμόθεν γεγαῶτα κατέκλυσεν ἄσπετος ὄμβρος·
Δύστηνον δέ τε πᾶσαν ἀπώλεσας ἐλπίδα φωτῶν.
20 Ὤσας σχέτλιον ἄνδρα διαμπερές, ἔρρε δ' ἐκεῖνος·
Σεῦ κοτέοντος ἑὸς τρέπεται χρὼς ἀλλοίως ἄλλῃ
Τὸν δὲ κακῶς ἀφίεις πυκινὰ φρεσὶν ἄλγε' ἔχοντα.
21 Υἱέες οἱ ἐς τιμὴν προβεβᾶσιν, ὁ δ' οὐ πύθετ' αὐτῶν.
Καὶ τάχα δ' ἂν μινύθωσιν ἀείζηλοί περ ἐόντες
Αὐτὰρ ὅγ' οὐκ ἤδη οὔτ' ἄρ κλέος, οὔτε τι πένθος.
22 Ἀλλά μιν αἰνὸν ἄχος πυκάσει φρένας ἀμφιμελαίνας,
Ὀξείῃς ὀδύνῃσι πεπαρμένον ἀμφὶ μέλεσσι·
Κλαυθμῷ δὲ στοναχῇ τε φίλον τετιημένος ἦτορ
Ἕξει πένθεα λυγρά, καὶ ἔνδοθι θυμὸν ἀμύξει.

Rurſus reſurgere ex tenebris caliginoſis,
Neque reverti, priuſquam cœlum ſtellatum
Non ampliùs terræ ſupereminеat; ſed ſemper
Jacebit ſecurè, forti domitus ſomno.
Utinam me in ſepulcro ſub terra tegens
Abditum poneres, iracundiam donec tuam decoxeris.
Utinam & mihi tempus ſtatueres, memineriſque mei.
Siquis vir mortuus eſt, iterum in vivis erit?
Quamobrem ego ævi decreti dies omnes
Continuè manebo expectans, dum vitæ
Sortem complevero, & me finis mortis occupaverit. (ſim.
Tum tu quidem vocabis me, ego autem reſpondebo viciſ-
Deſiderabilia verò tibi & tuo accepta animo
Erunt tua opera, tuarum artificia manuum. (vertens,
Omnes omnino greſſus meos dinumeras, acriter animad-
Pedéſq; obſervas vel huc vel illuc euntis:
Es verò meorum inſpector & ſpeculator errorum.
Iniquitas mea ſignatur, tanquam in pera;
Malefacta autem mea conſuiſti omnia.
Montes umbroſi ceciderunt in pulvere,
Altorum montium cacumina & prominentiæ ſummæ
Perierunt *unà cum* ipſis radicibus, turbata autem eſt ſubtèr
Terra, & ſublimium rupium concuſſa ſunt fundamenta.
Lapidem levigavit aqua, planum verò eminet ſaxum,
Et tellure ſata inundavit ingens imber:
Miſerorum autem omnem perdidiſti ſpem virorum.
Repuliſti miſellum hominem penitus, ægre-abiit verò ille:
Te iraſcente ejus mutatur color ſubindè variis modis;
Eum autem malè dimittis, crebros animo dolores habentem.
Filii ejus ad honorem provecti ſunt, is autem de iis nil au-
Et citò iterum attenuantur, præclari licèt fuerint. (divit.
Verùm ille nec novit gloriam *eorum* nec luctum.
At illum gravis dolor ſepiet præcordia circum nigra,
Acutis doloribus tranſfixum circa membra;
Fletu autem & gemitu charum afflictus cor
Habebit luctus funeſtos, & intus animum macerabit.

ΚΕΦ. ιε΄.

1 ΤΟ'ν δ' ἀπαμειβόμενος προσέφη Ἐλιφὰς Θαιμανίτης,
Καὶ ἐπικερτομέων χαλεποῖς ἠνίπαπε μύθοις·
2 Ἦ κενεοφροσύνην ἐρέει πεπνυμένος ἀνήρ;
Ἔν τ' ἄνεμον χύσει, ὑετοῖό τε γαστέρα πλήσει;
3 Ἐν ᾗ δίκῃ ἐλέγξει ἀκραάντοισι λόγοισιν;
Ἠ' ἀλίοις ἐπέεσσιν, ἀνωφελέεσσί τε μύθοις;
4 Ἀδδεὲς, οὔτι Θεὸν φρεσὶν ἅζεαι, οὔτ' αἰδεῖαι,
Οὐδὲ θ' ἑὸν μάλα θυμὸν ὀπίζεαι, οὐδ' ἐθέλεις μιν
Θελγέμεν, οὐδὲ λιτῇσι καθαπτόμενος ἀγανῇσι.
Θάρσησας δ' ἔθεν ἄντα, ἔπος τ' ὑπέροπλον ἔειπες.
5 Δυσνομίην ἄρα σεῖο τεῇ γλώσσῃ κατέλεξεν,
Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μυθήσασθαι·
Κερδαλέον στόμα σὸν κλεψίφρονος οἷά περ ἀνδρός.
6 Γλῶσσα σὴ κατὰ σεῖο δικάζεται, οὔτοι ἔγωγε·
Χείλεα σὰ ληρεῦντα σέθεν καταμαρτυρέουσιν.
7 Ἦ ῥα σὺ πρωτότοκος βροτὸς εἷς; προγενέστατος ἀνδρῶν;
Ἠὲ πάλαι γέγαας πρὶν ἢ οὔρεα μακρὰ τετύχθαι;
8 Ἦ ῥά σοι οὐρανόθεν μυστήρια θεῖα πέφανται;
Τῷ καὶ ἐνὶ θνητοῖσι μόνος σοφὸς ἔμμεν' ἔφησθα;
9 Ἀλλὰ τίνα σύ ποτ' οἶσθα, τὸ μὴ σάφα οἴδαμεν αὐτοὶ
Ἡμεῖς; ἢ τί σὺ γινώσκεις, ὃ καὶ οὐκ ἀρίδηλον
Ἄμμι πέλει; ἐπεὶ οὔτι φρενῶν ἐπιδευέες εἰμέν.
10 Ἐν ᾗ παλαιγενέες πολυΐδριες ἄμμιν ἔασι,
Καὶ πολυβουλότατοι πολιοκρόταφοί τε γέροντες,
Οἵ τε πρεσβύτεροι γενεῇ σέθεν εἰσὶ τοκῆος.
11 Ἦ τοι ἀπόβλητ' ἐστὶ Θεοῦ παραμύθια καλὰ,
Ὅσσα κεν αὐτὸς δῴη εὐφροσύνῃσι παθήσας
Ἤπιος; ἢ γὰρ πᾶσιν ἐπίστατο μείλιχος εἶναι.
Ἦ ῥά τιν' ἐνδομύχοισι τεῷ μυστήρια θυμῷ;
12 Τίπτε σοι οἰδαίνεται κραδίη φρεσὶν ὁρμαίνοντι,
Δαιμόνι'; ἢ τί σε τόσσον ἀγηνορίῃσιν ἐπῆχας;
Τίπτε δ' ἐπιλλίζεις αὐτοῖς, καὶ ἐπ' ὀφρύσι νεύεις;

Τίπτ'

CAP. XV.

HUic autem reſpondens dixit Eliphas Thamanites,
Et convitiis-inceſſens aſpero *eum* increpuit ſermone;
Num vanitatem loquetur prudens vir?
Ventóque gravidus erit, Euróque ventrem implebit?
Num in judicio contendet imperfectis rationibus?
Aut inanibus verbis, inutilibúſque ſermonibus? (reris,
Impudens, haudquaquam Deum mente colis, nec reve-
Neque ejus omnino iram vereris, neque vis ipſum
Placare, neque precibus demulcere mitibus.
Confiſus es autem coram illo, verbúmque ſuperbum jactâſti,
Iniquitatem utique tuam tua lingua declaravit,
Semper tuo animo placet mala effari:
Vafrum *eſt* os tuum, doloſi tanquam hominis.
Lingua tua te condemnat, non ego,
Labia tua blaterantia contra te teſtimonium-præbent.
Nunquid tu primogenitus mortalis es? maximus-natu inter homines?
Aut olim natus es, antequam montes longi fabricarentur?
Nunquid tibi cœlitus myſteria divina patefacta ſunt?
Ideóque inter mortales ſolus ſapiens eſſe profiteris?
At quid tu tandem nôſti, quod non perſpicuè novimus ipſi
Nos? aut quid tu ſcis, quod non etiam manifeſtum
Nobis eſt? quandoquidem haud mentis expertes ſumus.
Etiam grandævi multarum-rerum-experti inter nos ſunt,
Et conſilio-abundantes, & capite-cani ſenes;
Quíque ſeniores natu tuo ſunt patre.
Num tibi deſpicatui ſunt Dei ſolatia bona,
Quæ ipſe dederit benevolentiâ fretus,
Clemens? certè enim omnibus novit mitis eſſe.
Num quæ intus-recondita ſunt tuo myſteria in animo?
Utquid tibi intumeſcit cor in pectore cogitanti
Infelix? aut quid te adeó inſolentem fecit?
Utquid nictas fruſtrà, & ſuperciliis annuis?

Τίφθ' οὕτω μύσαρ' ὄσσε ὑπὸ βλεφάροισι φοροῦσι;
13 Τίπτε κατ' Ἀθανάτοιο μέγα φρονέων ἐνὶ θυμῷ
Μαίνεαι ἐκπάγλως, κρατερὴ δέ σε λύσσα δέδυκε;
Σχέτλιε, ποῖόν γάρ σε ἔπος φύγεν ἕρκος ὀδόντων;
14 Ἄνθρωπος τί ποτ' ἐστὶν, ἀκήδεστος ὄφρα πέλοιτο;
Ἢ τί γυναικεῖον δειλὸν τέκος, ὄφρα δίκαιον;
15 Οὐδὲ γὰρ οἱ θεράποντες ἀμύμονες ἀξιόπιστοι,
Οἵ θ' οἱ κεδνότατοι καὶ φίλτατοί εἰσιν ἁπάντων.
Οὐδέ που οἱ καθαρὸς πέλει ὀφθαλμοῖσιν ὁρᾶσθαι
Οὐρανὸς ἀστερόεις, τοῦ καὶ χαριεστάτη αἴγλη.
16 Πῶς ἂν οὐ πολὺ μᾶλλον ἀνὴρ στυγερός τε καὶ αἰσχρὸς,
Δυσνομίης ἀκόρητος ἀνὴρ, ἄθεν ἄντα φανείη;
Ὃς καὶ διψαλέῳ κατέπινεν ἁμαρτάδα θυμῷ,
Ὡς ὅτε τις χανδὸν ῥοφέων πίεν ἀγλαὸν ὕδωρ
Δίψῃ καρχαλέος, πιέειν δέ ἑ θυμὸς ἀνώγει·
Ὣς ὅγ' ἀτασθαλίην λαύρως πίε διψάδι λύσσῃ.
17 Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σιώπεο καί μευ ἄκουσον,
Ἀγγελέω, τόδ' ἐγὼ πάλαι ὀφθαλμοῖσιν ὄπωπα·
18 Ἀγχίνοοι δὲ πάροιθεν ἑῶν πεπύθοντο τοκήων,
Ἄμμι δ' ἀφηγήσαντο διαμπερὲς, οὐδ' ἐπίκευσαν.
19 Γαῖαν ὅλην αὐτοῖσι πορὼν Θεὸς ὤλεσε φῦλα.
Οὐδέ τις ἀλλοδαπῶν γε μετὰ σφίσιν οὐκέτ' ἔναιεν.
20 Ὠδίνει ὀδυνῃσιν ἀτάσθαλος ἤματα πάντα,
Δάκρυσί τε, στοναχῇ τε, καὶ ἄλγεσι θυμὸν ἐρέχθων·
Τοῦ δ' ὕβρεις τε βίη τε σιδήρεον οὐρανὸν ἷκει,
Παμπόλλους οὐκ εἶδε περιπλομένους ἐνιαυτούς·
Ὤλετο δ' ἐν ἥβῃ, οὐδ' ἵκετο γήραος οὐδόν.
21 Σμερδαλέην βόμβησεν ἑοῖς ἀμφ' οὔασιν ἠχὴ,
Τόν τ' ὀλετῆρ' ἀδόκητον ἐϋῤῥώοντα κιχήσας,
Αἰφνιδίως κατέμαρψε, καὶ [illegible] κατέκτα.
22 Οὐ μὲν γε ζόφου ἐκτὸς ὀΐεται ἀπονέεσθαι,
Καί μιν ἄορ μίμνει πολυδίψιον, αἵματι θῦον.
23 Πλαγκτοσύνῃ δέδμηται, καὶ ὡς ἀσύφηλος ἀλήτης
Ἀκλήϊστος, καὶ ἄπιστος, ἐελδόμενός τι ἐδωδῆς,
Πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε·
Ἔλπετο δ' ὡς σχεδόν [illegible] ἦμαρ ὀμίχλης.

Cur adeò connivent oculi ſub palpebris tuis?
Utquid contra Immortalem valde elatus animo
Inſanis terribiliter, ingens autem te rabies invaſit?
Improbe, quale enim tibi verbum aufugit vallum dentium?
Homo quid eſt, integer ut eſſet?
Aut quid *eſt* muliebris miſera proles, ut *eſſet* juſta?
Neque enim ei ſervi egregii fide-digni *ſunt*,
Etiam qui ei chariſſimi & amiciſſimi ſunt omnium.
Necdum ei purum eſt oculis videri
Cœlum ſtellatum, cujus etiam venuſtiſſimus ſplendor.
Quomodo ergò non multò magìs homo odioſus & turpis,
Iniquitate inſatiabilis homo, coram eo videretur?
Qui etiam ſitienti bibit peccatum animo,
Sicut quando quis hianti-ore ſorbens bibit limpidam aquam
Siti aridus, bibere autem eum animus jubet:
Ità hic nequitiam affatim bibit ſitienti rabie.
At enim tibi dico, tu autem percipe, & me audi;
Narrabo, quod ego olim oculis vidi:
Prudentes autem antehac à ſuis audierunt patribus,
Nobis autem declarârunt omnino, nec reticuerunt.
Terram totam ipſis conceſſit Deus, & perdidit gentes:
Nec quiſquam alienigenarum inter ipſos ampliùs habitavit.
Dolet doloribus improbus diebus omnibus,
Lacrymis & gemitibus, & doloribus animum excrucians:
Cujus injuriáque viſque ad ferreum cœlum vadit,
Admodum-multos non vidit volventes annos;
Periit autem in pubertate, nec attigit ſenectutis limen.
Terribilis ſtrepuit ejus circa aures ſonus,
Eúmque occiſor ex-improviſo proſpere-agentem deprehen-
Repentè corripuit, & non cogitantem interfecit. (dens
Haudquaquam extra tenebras ſperat reverti,
Et eum enſis expectat ſitibundus, ſanguine furens.
Vagatione confectus eſt, & tanquam vilis erro
Jejunus, & impaſtus, egens cibi
Errat apud peregrinorum virorum populúmq; civitatémque:
Sperat autem ſibi propè eſſe infauſtum diem tenebrarum.

Terror

24 Ταρβοσύνη καὶ πένθος ἑοῖ μέγα δεῖος ἐνόρσει,
Καδδ' ἕθεν ἰσχύσει, ὡς ὄρχαμος ἀλκὶ πεποιθὼς
Ἄγχιον ἐς πόλεμον κεκορυθμένος αἴθοπι χαλκῷ.
25 Χεῖρα κατ' Ἀθανάτοιο ὑπερφιάλως ἐπανύσσεν,
Κάρτυνεν δὲ κατ' αὐτοῦ ἑὸν μεγαλήτορα θυμόν.
26 Ἄλτ' ἐπὶ οἱ μεμαώς, καὶ ἀναιδὴς θῦεν ἐρωῇ
Αὐτοῦ ἐπὶ δειρῆς, ἐπί τ' ἀσπίδος ὀμφαλοέσσης
Ἥλοισιν πυκινοῖσι διαμπερὲς εὖ ἀραρυίης.
27 Δημῷ καὶ σάρκεσσιν ἑὴν ἐνέβυσσεν ὀπωπὴν
Πιαλέην, λιπαρήν, πολλὸς δ' ἀναδέδρομε κόλλοψ
Ἀμφί τε βουβῶνα στιβαρόν, καὶ πίονα μηρόν.
28 Ἄστε' ἐρημωθέντα, καὶ οὐδενόσωρα μέλαθρα
Ναιετάει, σωροὺς ἤδη μέλλοντα γενέσθαι.
29 Οὐχ οἱ χρήματα πολλά, μινυνθάδιος δέ τε ὄλβος,
Οὐδὲ μάλ' ἔμπεδος ἔσται ἐπὶ χθονὶ πουλυβοτείρῃ.
30 Οὐδέ ποτ' ἐκ σκότεος παρελεύσεται ἀχλυόεντος,
Οὐδέ ποτ' ἐξ ἄτης καὶ ὀϊζυρῆς κακότητος.
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
Οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
Πάντη τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει·
Ὡς τοῦ μέν τ' ὄζους κατιδάπτει θεσπιδαὲς πῦρ,
Ἄσθμα δὲ θεσπεσίου στόματος φλόγα εἰλυφάζει.
31 Ἦ ῥά νύ οἱ μεγάλων δώρων ἐπεμαίετο θυμὸς
Πλαγκτὸς, ἀτασθαλίῃ πίσυνος ματίῃ τ' ἀλεγεινῇ·
Τοὔνεκεν οἱ μισθὸς κενότης ἀντάξιος ἔσται.
32 Ὄζος οἱ οὐκέτι χλωρὸς ἐών, ταχύποτμος ὀλεῖται
Ῥιζόθεν, ἀζαλέος, πανάωρος, αἶψα μαρανθείς.
33 Ὄμφακα δὲ στρυφνήν, καὶ μηκέτι ὀπωρίζουσαν,
Ἄμπελος ὡς τρισάωρος, ἀνήμερος ἐξαποδύσει·
Ὦκα δ' ἀπανθήσει ὡς ὠλεσίκαρπος ἐλαίη.
34 Ὡς κλισίη κεν ἐρήμη ἀτασθάλου ἠπεροπῆος,
Οἰοπόλος τε γένοιτο, Θεὸς δέ ἑ σφαλώσειεν.
Οἱ δὲ φιλοκτέανοι, τοῖσίν τ' ἐπιήνδανε δῶρα,
Τῶν νύ κεν οἰκία καλὰ πυρὶ σμύχοιτο κατ' ἄκρης.
35 Οἱ μόχθον κύουσι καὶ ἀμπλακίην ἀλεγεινήν,
Τίκτουσιν κακότητα, δόλους δ' ἐν γαστέρ' ἔχουσι.

ΚΕΦ. ιϛ'.

Terror & luctus ei magnum metum incutiet,
Contráque eum prævalebit, ut princeps robore fretus
Sævum ad bellum armatus ſplendenti ære.
Manum contra Immortalem ſuperbè extendit,
Corroboravítque adverſùs illum ſuum ſtrenuum animum.
Inſiliit in eum promptus, & impudenti ruit impetu
Ejus in collum, inque clypeum umbilicatum,
Clavis denſis paſſim bene compactum.
Adipe & carne ſuam opplevit faciem
Pinguem, nitidam; multus autem eminet callus
Circáque inguen robuſtum & pingue femur.
Urbes vaſtatas, & ruinoſas domos
Inhabitat, aggeres mox futuras.
Divitiæ ei non multæ, opéſque brevi-duraturæ,
Nec admodum ſtabiles erunt in terra alma.
Nec unquam è tenebris emerget obſcuris,
Nec unquam ex ærumna & calamitoſo malo.
Quemadmodum autem furit in altis convallibus ſævus ignis
Montis aridi, profunda autem ardet ſylva,
Ubique autem turbans ventus flammam convolvit:
Sic hujus ramos depaſcit divinitus-accenſus ignis,
Halitus verò divini oris flammam convolvit.
Certè ei magna dona affectabat animus,
Seductus, nequitiâ fretus vanitatéque miſerandâ:
Quocirca ei præmium vanitas condignum erit.
Ramus ejus nondum vireſcens citò-moriens peribit
Radicitus, aridus, omnino-immatur⁹, confeſtim marceſcens.
Omphacem verò acerbam & nondum nigreſcentem,
Vitis ceu ter-immatura, agreſtis exuet;
Citò autem deflorebit, quaſi frugiperda oliva.
Ità tentorium deſolatum improbi hypocritæ
Solitariíſſimúmque erit, Deus autem ipſum turpem-reddet.
Avari autem, quibúſque cordi-ſunt dona,
Eorum domicilia pulchra igne ardebunt à faſtigio.
Qui dolorem concipiunt & iniquitatem funeſtam,
Pariunt malitiam, dolos autem in utero habent.

CAP.

ΚΕΦ. ιϛ'.

1 Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ἰώβος,
Πυκνὰ μάλα στενάχων, καὶ ὀδύρετο κῆρόθι μᾶλλον·
2 Ἦ μὴν ἐγὼ τὸ πάροιθεν ἀκήκοα πολλὰ τοιαῦτα.
Ὦ ἕταροι δυσέταιροι, ἀπηνέα θυμὸν ἔχοντες,
Σχέτλιοί ἐστε φίλοι, ζηλήμονες ἔξοχον ἄλλων,
Δειλοί τ' οὐτιδανοί τε ἐμῆς παρακλήτορες ἄτης.
3 Ἦ ποτ' ἀπολλήξεις, Ἐλιφὰζ, ἀνεμώλια βάζων;
Τίπτε σ' ἐποτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
Οὕτω λαβραγόρην ἔμμεναι; ἐπεὶ οὐδέ τι σε χρή.
Ἢ τίνι θαρσήσας στυγερῷ μ' ἠμείψαο μύθῳ;
4 Καί κεν ἐγὼν εἴποιμι, τὰ θ' ὑμεῖς, εἴ νύ περ ὔμμι
Ἴση μοῖρα δάμασσε, καὶ εἰ κακὰ τόσσα πέπονθε,
Ὅσσ' ἐγὼ ἀλλήκτῳ κραδίῃ πάθον, ἠδ' ἐμόγησα·
Καί κ' ἐγὼ ἠδυνάμην γε καθ' ὑμέων, αἴκ' ἐθέλοιμι,
Κινῆσαί τε κάρη, καὶ ὀνείδεα μυθήσασθαι.
5 Στηρίξαιμι δὲ μᾶλλον ἀκηχεμένους τινὶ μύθῳ
Τειρομένους ἑτάρους, καὶ ἄκος γλυκυμείλιχον εἴη
Ὑμετέρῃς στοναχῇσι καὶ ἄλγεσιν, ὅ,ττι κεν εἴπω
Ὕμμιν ἀκηχεμένοις, παυσωλὴν χείλεα λύσας.
6 Ἀλλὰ τί ἢ νῦν ταῦτα μεθ' ὑμῖν μὰψ ἀγορεύω;
Οὐ γάρ μοι φρέν' ἀτέρπεα ὀϊζυὸς ἐκλελαθέσθαι
Οὐδέ ποτ' εἰν ἐπέεσσιν ὄϊομαι, ἕν' ἐσσὶ σιγῇ.
Ἀλλ' αἰεὶ στενάχω, καὶ κήδεα μυρία πάσχω
Ἠμάτιος νύχιός τε, κακοῦ δ' οὐ γίνετ' ἐρωή.
7 Ὅττι με δύστηνον χαλεπῷ ἐδαμάσσατο μόχθῳ
Οὐράνιος Βασιλεὺς, ἄτῃ τ' ὀδύνῃσι βαρείῃ·
Οἰοπόλον δ' ἔμ' ἔθηκε, φίλους τ' ἀπάνευθεν ἑταίρους.
8 Κοίλῃσι ῥυτίδεσσιν ἐμὴν ἐχάραξεν ὀπωπὴν,
Κάρφη δέ μοι χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Καί μου ἀεικέλιαι ῥυτίδες καταμαρτυρέουσι
Σῶμα δὲ καρφαλέον μοι καὶ σφακελῶδες ἐτύχθη.
9 Ἀντίβιος γὰρ ἀνήρ με δαμάσσατο νηλέϊ θυμῷ,

Ἐχθοδ

CAP. XVI.

HUnc verò excepit deinde patiens divinus Jobus,
Crebrò valde ingemiſcens, & ploravit animitus magis:
Certè quidem ego antehac audivi multa talia.
O ſocii, infelices-ſocii immitem animum habentes,
Duri eſtis amici, invidi præ aliis,
Miſeriq; vileſque meæ conſolatores miſeriæ.
Num quando ceſſabis, Elipha, vana effutire?
Quare te inſtigat cor & animus inſolens
Ità multiloquum eſſe? quandoquidem haud te decet.
Aut quâ re fretus odioſo mihi reſpondiſti ſermone?
Etiam ego poſſem dicere, quæ & vos, ſi fortè vos
Par caſus domuerit, & ſi mala tot paſſi fueritis,
Quot ego perduranti corde toleravi & pertuli:
Etiam ego poſſem in vos, ſi vellem,
Movere caput, & opprobria fari.
Suſtentarem verò potiùs medicinali quodam ſermone
Afflictos ſodales, & remedium dulciloquum eſſet
Veſtris gemitibus & doloribus, [illegible] dixero
Vobis mœrentibus, luctum-ſedans [illegible],
At quid nunc hæc apud vos fru[illegible]
Non enim mihi animum ingratæ [illegible]-de-
Nec in eloquio exiſtimo, nec in ſilentio, [illegible] poſiturum
Sed uſquè ingemiſco, & dolores innumerabiles concoquo
Die & nocte, mali autem non fit ceſſatio.
Quoniam me infelicem durâ oppreſſit ærumnâ
Cœleſtis Rex, damnóque devinxit gravi;
Solitarium verò me fecit, charóſque diſſipavit ſocios.
Cavis rugis meam ſulcavit faciem,
Siccavit autem mihi cutem pulchram in flexilibus membris,
Et adverſùm me deformes rugæ teſtificantur:
Corpus autem gracile mihi & macilentum eſt.
Inimicus enim vir me diſcerpſit crudeli animo,

Hoſtis

Ἐχθρὸς ἐμὸς κατ' ἐμεῦ ὀλοοὺς ἔβρυξεν ὀδόντας,
Καί με ὑπόδρα ἰδὼν φλογὶ ἴκελον ὄμμα τιταίνεν.
10 Εἰς ἐμὲ δέρκοντο στόματ' ἀκριτόμυθα χανόντες,
Ἠδὲ τ' ἐμὴν βελαρῆσι παρηΐδα χερσὶ πάταξαν,
Καὶ κατὰ μεῦ ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο.
11 Χωόμενός με Θεὸς παλάμῃς ἐπέτρεψεν ἀλειτῶν,
Ἀνδράσι δυσσεβέεσσιν ἕλωρ καὶ κύρμα γένεσθαι.
12 Ἀσκηθέϊ πρὶν ἐόντι κατέκλασέ μοι φίλον ἦτορ,
Καί με λαβὼν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
Ῥῆξε διαμελεϊστὶ, καί οἱ σκοπὸν ἔμμεν' ἔθηκε·
13 Τοῦ γὰρ ὀϊστευτῆρες ἐκυκλώσαντό με δεινοὶ,
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτιώαντες.
Νεφροὺς μεῦ συνάραξεν ἀφειδέϊ δεξιτερῆφι,
Τειχθά τε καὶ τετραχθὰ διέσχισεν, οὔτ' ἐλέησεν·
Ἔγκατα πάντα λάφυξε, χολὴν δέ τε χεῦεν ἔραζε.
14 Χρῶτα δέ μοι πληγῇσιν ἐπασσυτέρῃσιν ἄραξεν.
Ὥς τε γίγας μοι ἐπᾶλτο πελώριος, οὗ τε μάλιστα
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει.
15 Σάκκον ἐπὶ χρόα ῥάψ', ἐμὲ δὲ ῥάκε' ἀμφεκάλυψε
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα πηλῷ·
Καὶ κέρας ἐν κονίῃσιν ἐμοὶ πεπαλαγμένον ἐστί.
16 Δάκρυά μοι ἀλεγεινὰ φίλας ἐχάραξε παρειάς,
Κνύζωσεν δέ μοι ὄσσε πάρος περικαλλέ' ἐόντε·
Καὶ θανάτου σκιὴ ἷζεν ἐπὶ βλεφάροισιν ἐμοῖσιν.
17 Οὐδ' ἕνεχ' ἡμετέρης ἄτης κρατέρ' ἄλγεα πάσχω·
Οὐ γὰρ ἀτάσθαλός εἰμ', οὐδὲ φρεσὶν αἴσυλα εἰδώς·
Οὔτε γὰρ εὐχωλῆς ἐπιμέμφεται, οὔθ' ἑκατόμβης,
Ἣν αὐτῷ ποτ' ἔρεξα· λιτὴ δέ μοι ἐστὶν ἀμύμων.
18 Εἰ δὲ μὴ, οὔτις ἐμεῦ φωνὴν βοόωντος ἀκούσαι,
Μήτε σὺ, παμμῆτορ γαίη, ἐμὸν αἷμα καλύψαις.
19 Ὕψι μάλ' ἐν νεφέλῃς ἐμὸς ἔγγυος οἰκία ναίει,
Καί μοι μάρτυρός ἐστιν ἐν οὐρανῷ ἀστερόεντι.
20 Κερτομέουσ' ἕταροί με, φίλοισι δὲ παίγνιόν εἰμι,
Ἀλλὰ Θεῷ ἐλεεινὰ ὑπ' ὀφρύσι δάκρυα λείβω,
Μυρί' ἀπ' ὀφθαλμῶν τάδε μοι ῥέε, δεῦε δὲ κόλπον·
21 Ὡς ὄφελ' ἀνθρώπῳ θέμις ἔμμεναι ἀντ' ἀνθρώπου

Ἀθανάτῳ

Cap.
Hoſtis
Et me
In n
Et mea
Et con
Iratu
Viris i
Inc
Et me
Lacera
Ejus
Et val
Renes
In tré
Viſcer
Car
Utqu
Anim
Sac
Lacer
Et co
La
Defor
Et me
Ne
Non
Neq;
Quæ
Sin
Nec
Su
Et mi
Co
Verù
Innu
Ur

Hoſtis meus in me perniciosis frendit dentibus,
Et me torvè intuens flammæ ſimilem oculum vibravit.
In me intuiti ſunt oribus loquacibus hiantes,
Et meam robuſtis genam manibus percuſſerunt,
Et contra me congregati ſunt, & in unum convenerunt.
Iratus me Deus manibus permiſit peccatorum,
Viris impiis prædam & lucrum fieri.
Incolumi priùs exiſtenti fregit mihi charum cor,
Et me prehendens capitiſque & cervicis ad juncturam
Laceravit membratim, & ſibi ſcopum eſſe poſuit.
Ejus enim ſagittarii circundederunt me terribiles
Et valde catervatim ſe condenſantes.
Renes meos confregit immiti dextrâ,
In tréſque quatuórque partes diſcidit, neque miſeratus eſt:
Viſcera omnia exhauſit, fel autem fudit in terram.
Carnem verò meam plagis denſis laceravit,
Utque gigas mihi inſiliit ingens, cujus maximus
Animus in pectoribus præ robore tumeſcit.
Saccum ſuper cutem conſui, méq; panni viles obtexerunt
Laceri, ſordidi, malo conſpurcati fumo:
Et cornu in pulvere mihi inquinatum eſt.
Lacrymæ meæ funeſtæ charas ſulcârunt genas,
Deformârunt autem mihi oculos anteà perpulchros;
Et mortis umbra ſedit ſuper palpebras meas.
Nec propter noſtram culpam graves dolores patior:
Non enim ſceleratus ſum, nec animo nefaria cogitans;
Neq; enim ob vota *me* incuſat, neque ob ſacrificia
Quæ illi aliquando obtuli: oratio autem mea eſt irreprehen- (ſibilis.
Sin minùs, nemo meam vocem clamantis audiat,
Nec tu, omniparens terra, meum ſanguinem tegas.
Sublimè admodum in nubibus meus ſponſor habitat,
Et mihi teſtis eſt in cœlo ſtellato.
Convitiantur mihi ſodales, amicis autem ludibrio ſum,
Verùm Deo miſerandas ſub ſuperciliis lacrymas fundo,
Innumeræ ab oculis quæ mihi fluunt, rigant autem ſinum.
Utinam homini fas eſſet pro homine

Cum

Ἀθανάτῳ ξυμβλῆσθαι, ἐπαντιάαν τ' ἐν ἀγῶνι,
Ὡς ὅτ' ἐειδομένῃσι δίκῃ φίλος ἀντὶ φίλοιο.
22 Αὐτὰρ ἐγὼ παύρων περιτελλομένων ἐνιαυτῶν
Βαιὸν ἐπεὶ ζωοῖσιν ὁμίλεον, οὐδ' ἔτι δηρὸν,
Αὐτίκ' ἰὼν (μάλα γὰρ βίος ἀνεῖ), ἐγγύθι δ' ἀδου,
Ἤματα δὲ παρβέβηκε, παρῴχηκεν δέ μοι αἰὼν
Πλειόνων μοιράων, ὀλίγη δ' ἔτι μοῖρα λέλειπται
Δυστήνῳ, (πεὶ γάρ με μινυνθάδιον τέκε μήτηρ)
Δύσομαι εἰς ἀΐδαο, καὶ ἐν νεκύεσσι φανέω,
Εἰς αἴπην γαῖαν ἀμετάτρεπτον ἴχνος ἐπείγων,
Ἔνθ' ὅθεν οὐκέτ' ἄνειμι· Θεὸς δ' ἀποαίνυτο νόστον.

ΚΕΦ. ιζ'.

1 Κεῖμ' ὀλιγηπελέων, ὀλίγος δ' ἔτι θυμὸς ἔνεστιν,
Ἤδη μοι ἀδρανέοντι φερέσβιον ἆσθμα σέσηπεν,
Ἤματά μοι ἔσβεσο, μινυνθάδιος δέ μοι αἰών.
Νῦν γὰρ σορεπλὴξ εἰμί, τάφοι δέ μοι εἰσὶν ἕτοιμοι.
2 Οὐ μοι λωβητῆρες ἐπεσβόλοι ἐγγὺς ἔασι;
Τῶν δ' ἐνὶ κερτομίῃσιν ἐμὴ διέμεινεν ὀπωπή;
3 Ἀλλά σε λίσσομ', Ἄναξ, σὺ γὰρ σύνθεο καί μοι ἄκουσον,
Εἶ' ἄγε, παρκατάθες, δὸς δ' ἔγγυον ἐγγυάασθαι,
Ἄμμιν ὃς ἀμφοτέροισι δίκην ἰθύντατα εἴποι.
Τίς δέ μοι ὅρκια πιστὰ τάμῃ, καὶ χεῖρα λάβῃσι;
4 Τοῖσι γὰρ ἄφρονα θυμὸν ἐνὶ στήθεσσιν ἔθηκας,
Τῶν δὲ καὶ ἀνοσύνῃ πάγχυ φρένας, δῖον ἄειπον.
Τῷ οὔ τι σφίσι κῦδος ὑπέρβιον ἐγγυαλίξεις.
5 Ὃς φίλον ἠπεροπεύσῃ δόλοις, ἀπατήλια βάζων,
Ἐσθλὰ μὲν ἀγγέλλων, κακὰ δὲ φρεσὶ βυσσοδομεύων,
Αὐτοῦ μὲν τεκέων μύωπες καταπίξονται ὄσσε
Ἐκ κεφαλῆς, ἵνα τίς τε καὶ ὀψίγονος ἀνθρώπων
Ὀφθαλμῶν πεπύθηται ἀεικελίην ἀλαωσύν.
6 Θῆκε δέ με λώβην τ' ἔμεναι καὶ ἐπίψογον ἄλλοις,
Ἐν δ' ἄρα τοῖσι γελοῖος ἔην, ὡς τύμπανον ἠχεῖ,

Cum Immortali congredi, adverſaríque ei in certamine,
Sicut quando contendit in judicio amicus pro amico.
Aſt ego paucis circumvolventibus annis,
Paululum poſtquam vivis interſui, necdum diu,
Statim vadens (Valde enim vita ad finē properat, propè autē
Dies autem proceſſerunt, prætiériq; mihi ævum (factum,
Plurium partium, exigua adhuc pars reliqua eſt
Miſero, admodum enim me brevis-ævi peperit mater)
Deſcendam in ſepulcrum, & inter mortuos apparebo;
In longinquam terram irrevocabilem greſſum concitans,
Illuc unde non ampliùs aſcendam; Deus .i. abſtulit reditum.

CAP. XVII.

JAceo languens, exiguum autem adhuc animæ ineſt,
Et mihi infirmo vitalis ſpiritus corruptus eſt:
Dies mei extincti ſunt, breve autem mihi ævum;
Nunc autem capularis ſum, ſepulcra autem mihi ſunt parata.
Nonne mihi conviciatores blaterones propè ſunt?
Eorum autem in opprobriis meus permanſit vultus?
At te oro, Rex, tu autem paciſcere, & me audi,
Eia agè, juxtà-depone, da ſponſorem ad ſpondendum,
Nobis qui utriſque jus rectiſſimè dicat. (det?
Quis autem mecum fœdera fidelia feriet, & manum prehen-
His enim inſipientem animum in pectoribus poſuiſti,
Eorum etiam damno prorſus ſententiam, qualenam dixe-
Idcirco neutiquam iis gloriam ſuperiorem præbebis. (runt;
Qui amicum decepit dolis, fraudulenta loquens;
Bona quidem narrans, mala autem in animo intus-agitans,
Illius certè liberorum medio contabeſcent oculi
Ex capite, ut quis etiam poſterorum hominum
De oculorum audiat deformi cæcitate.
Fecit autem me probrum eſſe, & conſpicabilem aliis.
Inter eos autem ridiculus eram, ut tympani ſonitus,

Παισὶν ὁ νηπιάχοισιν ἄθυρμά τε χάρμά τ' ἔθηκε.
7 Φθινύθει δέ μοι ὄσσε δι' ἀλλήκτων ὀδυνάων,
Πολλοῦ τε κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Γυῖα δέ μευ πανόμοια ἀμαυροτάτῃ σκιῇ ἐστι.
8 Τῷ ἐπιθαμβήσουσι δικαιοσύνης ὑποφῆται·
Τῷ δὲ κακῷ ἐπορούσει ἐρεμνῇ λαίλαπι ἶσος,
Ὅστις ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα ἤδη.
9 Ἀστεμφέως δὲ δίκαιος ἑῆς ἔχετ' ἀτραπιτοῖο,
Οὔτι ἀποκλίνων, ὅτ' ἀκηρασίῃ παλαμάων
Ἰθυνόοις ἄνδρεσσιν ἀεὶ μέγα κάρτος ὀφέλλει.
10 Ἀλλ' ἄγε, δεῦτε φίλοι (Στρεπταὶ μέν τε φρένες ἐσθλῶν)
Νῦν ἀπονοστήσαντε παλίντροποι· οὐ γὰρ ἐν ὔμμιν
Ἄνδρα σοφὸν πινυτόν τε ἕως ἑνὸς εὑρὼν ἐλέγξω.
11 Ὤ μοι, ὡς ἀβέβαιος ἐμοὶ μεταμείβεται αἰών.
Ἤματά μευ βεβάασι κυλινδομένων ἐνιαυτῶν,
Δέδρομέ μοι βίοτος τροχὸς ἅρματος δία κυλισθείς.
Βουλαὶ ἀποσκίδναντο, ἐμοῦ μελεδήματα θυμοῦ.
12 Ἀλλάττουσι δὲ νύκτας ἐς ἤματα δακρυόεντα,
Δείλετο δ' ἥλιος, τάχα δ' αὖ μέλας ἕσπερος ἦλθεν.
Ἦ ῥα τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
Ἃς ἐπέτελλε Πατὴρ, ζάθεον δ' ἀπὸ θεσμὸν ἔθηκα
Οἷά περ ἐν κόλπῳ κειμήλιον· ὅ,ττι περ αὐτὸς
Ἦλθε διὰ στόματος, τόδε μοι προφερέστερόν ἐστιν
Ἢ ἐ μέρος σίτοιο, τό μοι ἐπιούσια νέμεσθαι,
Ἡδὺ μέρος σίτοιο, καὶ ἄλφιτα, μυελὸς ἀνδρῶν.
13 Ἀλλ' οὐκ ἔστιν ἀνὴρ θείων μενέων ἀπερωεύς·
Οὐδέ τις ἄπρηκτον, τὸ Θεὸς φρεσὶν ᾗσι μενοινᾷ,
Οὐδ' ἄλιον θήσει· Ἶσος οἱ νόος, ἠδ' ἴα βουλή·
Ἔρξεν ὅπως ἐθέλει καί οἱ φίλον ἔπλετο θυμῷ.
14 Τοῦτο γὰρ ἐξετέλεσσε, τό μοι πεπρωμένον ἦεν·
Ἦτοι πολλὰ τοιαῦτα παραὶ ἑο ἐστὶ καὶ ἄλλα.
15 Τοὔνεκά με τρόμος εἷλεν, ἑὸν λεύσσοντα πρόσωπον·
Ὡς ἴδον, ὡς ῥίγησα, φόβος μ' ἔχεν εἰσορόωντα.

(Hei mihi, quandoquidem nemo cum illo viribus comparari
Non certé: verùm mihi robur audax immittet, (queat!)
Intrepidam in pectoribus vim magnam adaugens.
Ibi cum eo ſecundùm ordinem contendere-queant juſti
Propalam, cupientes ſub arbitro litem dirimere.
Et tum ſperavero victoriam & gloriam conſequi
A Deo, qui inter omnes judicium rectiſſimè pronunciavit.
At heu me infelicem, quippe Deus nuſquam apparet:
Antrorſum ivi, ſed non illum aſpexi; etiam & retrorſum,
At neque ità poſſum illum oculis videre.
Sive ad dextram vado ad aurorámque ſolémque,
Sive ad ſiniſtram ego ad occaſum obſcurum;
Non illum juxta lævam, ubi ſtrenua fecit, conſpexi;
Nec juxta dextram, ibi enim abſconditus eſt.
Veruntamen liquidò ille meas compertas-habuit vias,
Omnéſque mœrentis vidit mores, & mentem novit.
Poſtquam enim me exploraverit calamitatis in camino,
Exibo auro ſimilis multùm fulgenti,
Quod bene rutilaverit purgatum in ignis flamma.
Firmiter ejus veſtigium meis preſſi pedibus,
Greſſibus directis ejus ſervavi ſemitam,
Et pedibus non-declinantibus, & non aberravi à via.
Nec mihi retrogradum cor receſſit à mandatis
Quæ præcepit Pater, divinam verò legem repoſui
Veluti in ſinu theſaurum: quicquid ejus
Proceſſerit ex ore, id mihi ſatius eſt
Portione cibi, quam mihi convenit diſtribui,
Suavi portione cibi, & farinâ, medullâ hominum.
At non eſt homo divinorum conſiliorum impeditor:
Nec quis irritum, quod Deus mente ſuâ molitur,
Nec inane reddet: Idem illi animus, atque idem conſilium:
Fecit ut vult, & ſibi jucundum eſt animo.
Hoc enim perfecit, quod mihi decretum erat:
Sanè multa iſtiuſmodi apud eum ſunt & alia.
Idcirco me pavor cepit, dum ejus cernerem vultum;
Ut vidi, ut metui, timor me tenuit intuentem.

16 Ἡ γάρ μοι κραδίην Θεὸς ἐν στήθεσσιν ἔτηξεν,
Ἀθάνατός μ' ἐτάραξεν, ὅου κράτος ἐστὶ μέγιστον.
17 Οὕνεκεν οὐκ ἀπόλωλα κακῆς προπάροιθεν ὁμίχλης,
Καὶ σκότος οὐκ ἐκάλυψεν ἐμῆς ἀπονόσφιν ὀπωπῆς.

ΚΕΦ. κδ'.

1 Τίπτ', ἐπεὶ Ἀθάνατος καιροὺς εὖ οἶδεν ἅπαντας,
Οὔτις ἐγινώσκων, προτιόσσετο θέσφατον ἦμαρ,
Ὢ, νῦν, ἢ μετόπισθεν ἔφη πίστεως ἀλείτας;
2 Ὃς μὲν ὅρους κινεῖ πολυληΐου ἀνδρὸς ἐν ἀγρῷ,
Ὃς δὲ βίῃ ἐλάσας ἀλλότρια πώεα βόσκει.
3 Ἄλλοι δ' ὀρφανικῶν ὄνον ἁρπάξαντες ἔλασσαν,
Καὶ βόα χηράων ἀμμώπνων ἠνεχύρασσαν.
4 Ἠδ' ὕβρει εἴκοντες ὑπερβασίῃ τ' ἀλεγεινῇ,
Τειρομένους πενίῃφιν ἀπεστυφέλιξαν ὁδοῖο.
Κεκρύφαται δὲ πτωχοὶ ὁμοῦ ὑπὸ κεύθεσι γαίης
Τοῖσι βιαζόμενοι· μάλα γὰρ χλωρὸν δέος ἥρει.
5 Ἐκ δ' ἴσαν ἐμμεμαῶτες ἐπὶ σφέτερ' αἴσυλα ἔργα,
Νηλεὲς ἐν στήθεσσι καὶ ἄγριον ἦτορ ἔχοντες,
Ἀγροτέροισιν ὄνοισιν ἀλίγκιοι, οἵ τ' ἐν ἐρήμῳ
Ἐξ ἄντρων θορέουσιν ἅμ' ἠοῖ φαινομένηφιν,
Εἰσοῦ κύρμα κιχεῖεν, ὅ σφιν καταθύμιον εἴη·
Καί σφιν ἔρημος ἔδεσμα πόρεν καὶ σφοῖσι τέκεσσι.
Τοῖοι ὑπερφίαλοι καὶ ὑπέρβιοι ὑβριστῆρες
Καππεδία λωτεῦντα καὶ ἀνδρῶν πίονα ἔργα
Πλάζοντ', ἀλλότριον βίοτον νήποινον ἔδοντες·
Κτήματα μὲν κέρσαν, πολλὴν δ' ἀπὸ ληΐδ' ἔλασσαν.
6 Ἐς τ' ἦλθον τέμενος βαθυλήϊον ἀλλότριόν περ,
Ἤμαον τ', ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Ἐς τ' ἦλθον σταφυλῆσι μέγα βεβριθυῖαν ἀλωὴν,
Καλὴν, οὐ σφετέρην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Τὴν δὲ βίῃ τρυγόωντες ἔχον μελιηδέα καρπόν.
7 Ὅς τις γυμνὸς ἔῃ, οὐδ' οἱ ῥάκος ἀμφιβαλέσθαι,

Παννύ-

Certè enim mihi cor Deus in pectoribus diſſolvit,
Immortalis me perturbavit, cujus vires ſunt maximæ.
Quoniam non perii malam ante caliginem,
Et tenebræ non remotæ erant meo ſeorſum à conſpectu.

CAP. XXIIII.

QUare, cùm Immortalis tempora ſat novit omnia,
Nemo ipſum cognoſcens, prævidit fatalem diem,
In quo nunc aut poſthac *ille* ſtatuit punire ſceleratos?
Unus quidem limites movet locupletis viri in agro,
Alius verò vi abigens alienos greges paſcit. (abegerunt,
Alii autem orphanorum aſinum per-rapinam-auferentes
Et bovem viduarum infirmarum pro-pignore-abſtulerunt.
Atque injuriæ cedentes iniquitatíque gravi,
Afflictos egeſtate deturbârunt è via.
Occulti autem ſunt pauperes ſimul ſub penetralibus terræ
His oppreſſi: valde enim pallidus metus occupavit.
Exierunt autem incitati ad ſua nefaria opera,
Crudele in pectoribus & ferox cor habentes,
Agreſtibus aſinis ſimiles, qui in deſerto
Ex antris proruunt quam-primum luceſcit,
Sicubi prædam deprehendere-queant, quæ ipſis grata ſit:
Et iis eremus eſcam præbet, & eorum proli.
Tales ſuperbi & inſolentes oppreſſores
Per campos florentes & hominum pinguia culta
Vagantur, alienum victum impunè edentes: (duxerunt.
Poſſeſſiones quidem vaſtârunt, multam autem prædam ab-
Intrarúntque campum altæ-ſegetis, alienum licèt,
Metebantque, acutas falces in manibus habentes:
Intrarúntque racemis valde oneratam vineam,
Pulchram, non ſuam; nigri verò botri inerant;
Eam autem per-vim vindemiantes habebant dulcē fructum.
Qui nudus fuerat, neque ei panniculus, quo indueretur,

Παννύχιον μὲν ἀφῆκαν ἀνείμονα χείματος ὥρῃ.
8 Τὸν δ' ὄμβρος κατέδευσεν, ὅταν λάβρον ῥέῃ ὕδωρ
Ῥοιζηδὸν κατ' ὄρεσφι κελαινῇ λαίλαπι θῦον.
Ὅς τ' ἐπεὶ οὐκ ἄλλην εὗρε ψυχῆς ἀλεωρὴν,
Πέτρῃ ὑπὸ γλαφυρῇ εὕδει βορέω ὑπ' ἰωγῇ,
Τῆς δ' ἔχετ' ἐμπεφυὼς, ἵνα οἱ σκέπας ᾖ ἀνέμοιο.
9 Ὀρφανικὸν δέ τε παῖδα, φίλας ὅτε χεῖρας ὀρέξῃ
Ἡδύ τι μειδιόων ἐνὶ νηπιέῃ ἀλεγεινῇ,
Μαζοῦ ἀπεσπάσαντο καὶ ἐκ κόλποιο τιθήνης,
Νηλεὲς ἦτορ ἔχοντες· ἐνηχύρασαν δὲ πενιχρόν.
10 Οὐδ' αὐτῷ τι δίδουσι ῥάκος, τό μιν ἀμφικαλύψῃ,
Γυμνὸν δ' ἐλθέμεναι, γυμνόν τ' εἰῶσι νέεσθαι.
Οἷσί θ' ὑπ' ἀργαλέῳ λιμῷ φίλα γυῖα λέλυντο,
Καὶ καμάτῳ, τὴν δὲ ζωαρκέα δράγματ' ἀπηύρων
Σῖτλαι, οὐδέ κ' ἀμαλλάων ἀπεναίατ' ἔεισθαι.
11 Οἳ δ' ἐν ἀλωῇσι λιπαρὰς τρυγόωσιν ἐλαίας,
Καὶ σταφυλὰς τραπέουσι φιλακρήτοις ἐπὶ ληνοῖς,
Ἀρνύμενοι μισθὸν σφίσι τ' αὐτοῖς καὶ τέκεσι σφῶν,
Οὔποτε πίνοντες πολυκαγκέα δίψαν ἄφεντο.
12 Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
Ὀλλύντων τε καὶ ὀλλυμένων· ῥέε δ' αἵματι γαῖα·
Τῶν ὕβρεις τε βίη τε σιδήρεον οὐρανὸν ἷκεν
Ἀεὶ θεινόντων, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
Κατὰ πτόλιν οὐταμένων· ὅμαδος δ' ἀλίαστος ὀρώρει.
Ἀλλ' οὐκ αἶψα Θεὸς τίννυσθ' ἤθελεν ἄτην,
Εἰ περ λοίγια ἔργα καὶ οὐκέτ' ἀνεκτὰ νοήσῃ.
13 Σχέτλιοι οὐκ ἴσασιν ὅπη φάος, οὐδ' ὅπη ἠώς,
Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὲρ αἶαν,
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
Οὐδ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
Οὐθ' ὅταν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται.
Ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσιν.
14 Ἀνέρ, ἀνέρ, βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
Καὶ σὺ πρὸ ἠελίοιο, πρὶν ἂν φανῇ ἄφθιτος ἠώς,
Ὄρνυσαι ἐκ λεχέων, κεχρημένον ἄνδρα φονεύσων,

Ἠΰτε

Totâ nocte eum dimiſerunt ſine-veſte hyberno tempore
Illum autem imber rigavit, cùm copioſa fluxerit aqua
Cum ſonitu de montibus atro turbine ruens.
Qui quando non aliud invenit à frigore refugium,
Petra ſub concava dormit boreæ ſub tegmine,
Hanc autem tenet adhærens, ut ei munimentum ſit à vento.
Orphanum autem puerum, charas cùm manus extendat
Suave quid ſubridens in infantia miſeranda,
Ab ubere avulſerunt vel è ſinu nutricis,
Immane cor habentes: pignus autem acceperunt à paupere:
Neque illi ullum dant panniculum, qui ipſum tegat,
Nudum autem venire, nudúmque ſinunt redire.
Quibúſque gravi fame chara membra ſoluta ſunt,
Et labore, ab iis almos manipulos abſtulerunt
Noxii, *ut* nec manipulis frui-queant meſſores.
Qui autem in pomariis pingues vindemiant olivas,
Et uvas calcant meri-amantibus in torcularibus,
Promerentes mercedem ſibique ipſis & proli ſuæ,
Nunquam bibentes valde-aridam ſitim exemerunt.
Tunc verò ſimul ejulatus & inſultatio erat virorum
Perdentium & pereuntium: fluebat autem ſanguine terra:
Horum injuriáq; víſq; ad ferreum cœlum pervenit (randus
Gladio percutientium, illorum .i. gemitus excitabatur miſe-
Per urbem vulneratorum; tumultus autem ingens ortus eſt.
Verùm non ſtatim Deus punire voluit noxam,
Quamvis peſtifera facta & non ampliùs ferenda ſenſerit.
Improbi non nôrunt ubi lux, aut ubi aurora,
Aut ubi ſol hominibus-affulgens vadit ſuper terram,
Caligine & nebulâ tecti: neque unquam eos
Sol lucidus aſpicit radiis,
Nec quando progreditur ad cœlum ſtellatum,
Nec quando rurſus ad terram de cœlo defertur;
Sed nox perniciosa ſuperfuſa eſt miſeris mortalibus.
Vir, vir, homicida, inquinate-cæde, murorum-deſtructor,
Et tu ante ſolem, priuſquam appareat immortalis aurora,
Surgis è lecto, egenum hominem occiſurus,

Ἠΰτε ἢ κλέπτης ἀλάλησαι νυκτὸς ἀμολγῷ.
15 Μοιχὸς ὁ νυκτιπλανὴς δολερὸς ἐλέλιξεν ὀπωπὰς,
Ἧσο δ' ἐνὶ μεγάροις ποτιδέγμενος, εἰσόκε δὴ
Οὐρανοῦ ἀγλαὸν ὄμμα, φίλος δ' ὅτι ἕσπερος ἔλθῃ
Ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Ἦμος ἢ κνέφας ἦν, σκιόωντό τε πᾶσαι ἀγυιαὶ,
Φῆ ῥ' ὡς οὔτι μιν ὄμμα διαδράκοι ὀξύτατόν περ,
Τοίῃ γὰρ νεφέλῃ κεκαλυμμένος εὔχεται εἶναι.
16 Ἄλλοι μὲν (Τέχναι ἢ κακῶν πολυμήχανοί εἰσι·
Πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω,
Οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα ἢ στόματ' εἶεν)
Ὀρφναίην διὰ νύκτα διωρύξαντο μέλαθρα,
Ἄσσα πάρος σφι κατ' ἦμαρ ἔλωρ παρέλοντο γενέθλης.
Οὐ φιλέουσι φάος, σκότος δέ τε ἵμερος αἱρεῖ.
Ἄλλοις μέν ῥ' ἀέκουσιν ἔδυ φάος, αὐτὰρ ἐκείνοις
Ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή.
17 Ἣ τ' ἄλλοισι φάος περιψίμβροτον ἤγαγεν, ἠὼς
Ἐχθρὴ τοῖσι πέλει, σκιὴ ὡς θανάτοιο μέλαινα.
Εἰ δέ τις ὀφθαλμοῖσιν ἴδοι, ἢ ἔργα πύθοιτο,
Πορφύρεον δ' ἄρα τούς γε νέφος θανάτοιο κάλυψεν,
Ἀχλυόεις τε φόβος δῦνε φρένας ἀμφιμελαίνας·
Ἔδδεισαν μὲν ἐπιζαφελῶς, χάζοντο δ' ὀπίσσω.
Ὡς ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
Οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα·
Ὡς οἱ μὲν ῥίγησαν, ἐπεί κέ τις ἀθρήσειεν.
18 Αἰνά τε δειδιότες φύγαδ' ἐμνώοντο ἕκαστος,
Λαιψηροῖς ὑδάτεσσιν ἐοικότες ὦκα ῥέουσι.
Τῶν δέ τε μοῖραν ὅλην καὶ κτήματα πάντ' ἐπὶ γαῖαν
Ῥηϊδίως ἐκέδασσε θεὰ δασπλῆτις Ἐριννύς·
Οὐκέτι καρπὸν ἔδοιεν ἀλωάων ἐριθηλέων.
19 Ὡς χιόνα ψυχρὴν, ἢ ἐξ ὕδατος κρύσταλλον
Αὐχμὸς καὶ θέρμη, τύφος ὡς κατέμαρψεν ἀλοίτην.
20 Γαστὴρ, ἥ μιν ἔτικτε, λελασμένη ἔσσεται αὐτοῦ,
Τοῦ καὶ τεθνειῶτος ἰδ' ἐν κονίῃσι τεθέντος
Τεύξουσι σκώληκες ἐν ἔγκασι δαῖτα θάλειαν,
Δημὸν ἐρεπτόμενοι, ἐπινεφρίδιον κείροντες.

Οὐδ'

Veluti autem fur errat mediâ nocte.
Mœchus noctivagus doloſos torſit oculos,
Sedit autem in ædibus expectans, donec occiderit
Cœli ſplendidus oculus, amicúſque heſperus ſupervenerit,
Trahens noctem nigram in almam terram.
Quando autē tenebræ erant, obumbrabantúrq; omnes viæ,
Putat, quòd nullus oculus eum cernet, acutiſſimus licét;
Tali enim nebulâ obtectum ſe gloriatur eſſe. (narum ſunt:
Alii quidem (Technæ verò malorum multarum machi-
Omnes autem non ego dixero, neque nominavero,
Etiamſi mihi decem linguæ, decémque ora eſſent.)
Tenebricoſam per noctem perfoderunt domos,
Quas priùs ſibi interdiu prædam elegerunt eſſe.
Non amant lucem, tenebrarum verò *eos* deſiderium capit.
Aliis quidem invitis occidit lumen, ſed iis
Grata multoties rogata venit nox obſcura.
Quæque aliis lucem mortales delectantem duxit, aurora
Inviſa his eſt, umbra velut mortis nigra.
Quòd ſiquis oculis aſpiciat, aut opera reſciſcat,
Denſa certè eos nubes mortis texit,
Caliginoſúſque timor ſubiit præcordia nigra:
Metuerunt quidem vehementer, receſſerúntque retro.
Ut cùm quis draconem conſpicatus, reſiliens fugit
Montis in ſaltibus, tremórque occupavit artus:
Sic hi quidem horruerunt, poſtquam quis *eos* conſpexerit.
Gravitérque metuentes fugam cogitârunt unuſquiſque,
Velocibus undis ſimiles ocyùs fluentibus. (terram
Eorum verò ſortem omnem & poſſeſſiones cunctas ſuper
Facilè diſſipavit dea ſæva Erinnys:
Nec ampliùs fructum comedent camporum virentium.
Sicut nivem frigidam, aut ex unda glaciem,
Æſtus & calor; ſepulcrum ſic oppreſſit peccatorem.
Uterus qui ipſum peperit, oblitus erit ejus,
Cujus etiam mortui & in pulveribus poſiti
Apparabunt vermes in viſceribus convivium lautum,
Adipem rodentes, & renibus obtenſum carpentes.

Οὐδέ οἱ ὀψιγόνοισι παρὰ μνημήϊον ἔσται.
Ῥήγνυθ' ὑπερβασίῃ, δρυσὶν ἰκέλη, ὄφρ' ἐν ὄρεσι
Σύν τ' Εὖρός τε, νότος τ' ἔπεσε, ζέφυρός τε δυσαής·
Αἳ δὲ πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
Ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων.
21 Ἣ δὲ γυνὴ στεῖρ' ἔσκε, καὶ οὐκ εἰδυῖα τόκοιο,
Τὴν ῥα βίῃ εἴξας τρύχεσκεν ἀπηνέϊ θυμῷ
Σχέτλιος, αἰὲν ἀλιτρὸς, ἐφυβρίζεσκε δὲ χήρην,
Καὶ κακὰ πόλλ' ἔρδεσκεν ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι.
22 Ῥυστάζει βιαροὺς ὃν κάρτεϊ· ὡς ὅγ' ἀνέστη,
Οὔτις δηθὰ πέποιθεν ἔπι ζωοῖσι μετεῖναι,
Ἔλπετο δ' ὡς τότε οἱ θανάτῳ εἵμαρτο ἁλῶναι
Ἀργαλέῳ; ἢ γὰρ ὅγ' ὀλοῇσι φρεσὶ θύει.
23 Εἰ δὲ Θεὸς σῶον οἱ πίσυνόν τε μάλ' ἔμμεν ἔδωκεν,
Ἀλλά γε καὶ μετόπισθεν ὁδοὺς, καὶ ἀτάσθαλα ἔργα
Τέννυθ' ὑπόδρα ἰδὼν, καὶ ἔκδικον ὄμμα τιταίνων.
24 Βαιὸν ἀείρονται, πάντων δέ θ' ὑπέρτεροί εἰσι
Δυσσεβέες, τάχα δ' αὖ κατερήριπον ἐν κονίῃσι
Πανσυδίῃ νώνυμοι ἐν ἀνθρώποισιν ἐόντες,
Ἀκλειεῖς τ' ἀπόλοντο, Θεὸς δ' ἐδρέψατο κῦδος,
Ὡς ὅτε τις σταχύων ἀποκόψῃ ἄκρα κάρηνα.
25 Ἀλλ' εἰ τοῦτ' οὐκ ἔστιν ἐτήτυμον, ὡς ἀγορεύω,
Τίς μὲν μοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι ἑταῖροι,
Ἠὲ πάλιν ἐρέει; τίς ἐν ὕμμι ψεῦδος ἐλέγξει,
Δείξει τ' ἐνφραδέως, ὡς οὐ πεπνυμένα βάζω;

ΚΕΦ. κε'.

1 ΤΟν δὲ μέγ' ὀχθήσας Σαυχαῖος ἀμείβετο Βαλδάδ,
2 Ὀυλύμπου βασιλεὺς, ὃς ὑπέρτατα δώματα ναίει,
Πάντων μὲν κρατέει μοῦνος, πάντεσσι δ' ἀνάσσει,
Κοίρανος ὑψιμέδων τε πέλει, μήστωρ τε φόβοιο,
Οἷος δ' ἀτρέμας ἧσται ἐφ' ὑψηλοῖσι θρόνοισι,
Πάντα δ' ἐπ' εἰρήνῃ δίεπει στρατὸν οὐρανιώνων.

Neque ei apud poſteros monumentum erit.
Frangitur iniquitas, arboribus ſimilis, cùm in montibus
Simul eurúſq; notúſq; ingruit, zephyrúſq; graviter-ſpirans:
Hæ autem inter ſe concutiunt extenſos ramos
Sonitu immani; fragor autem *fit* fractarum.
Quæ autem mulier ſterilis fuit, & neſcia partûs,
Eam violentiæ impotens vexavit immiti animo
Durus, ſemper peccans, injuriâ autem affecit viduam,
Et mala multa patrabat, quot non univerſi alii.
Per-vim-trahit ſtrenuos ſuo robore: poſtquam hic ſurrex-
Nemo diu confiſus eſt ſe ampliùs vivis interfuturum, (erit,
Timuit autem nè tum ſibi morte decretum ſit prehendi
Triſti: certè enim iſte pernicioſâ mente furit.
Quòd ſi Deus ſalvum ei ſecurúmq; eſſe valde conceſſit.
Nihilominus poſtea vias, & ſcelerata opera
Punit torvè intuens & vindicem oculum tendens.
Paululùm exaltantur, omnibúſque ſuperiores ſunt
Impii: ſtatim verò collapſi ſunt in pulvere
Prorſus, ignobiles inter homines exiſtentes,
Ingloriíque perierunt; Deus autem decerpſit gloriam,
Sicut cùm quis ariſtarum amputaverit ſumma cacumina.
Quòd ſi hoc non ſit verum, ut dico,
Quis mihi ſermonem reprehendet, quotquot *eſtis* ſocii,
Aut contradicet? quis inter vos mendacium redarguet,
Oſtendétque manifeſtè, quòd non prudentia loquor?

CAP. XXV.

HUic autem valde indignatus Sauchæus reſpondit Bildad,
Olympi rex, qui ſupremas domos incolit,
Omnes quidem ſuperat ſolus, omnibúſque imperat,
Princeps altipoténſque eſt, dúxque terroris,
Solus verò quietè ſedet ſuper excelſum thronum,
Omnémque in pace regit exercitum cœlicolarum.

3 Ἦ ῥά τις ἐστὶν ἀριθμὸς ἐπουρανίων στρατιάων;
Ἠὲ τίς ἐστ' ἐπὶ γαῖαν, ἐφ' ὃν Θεὸς οὐκ ἀνέτειλεν
Οὐρανόθεν γλυκερόν τε φάος καὶ ἐπήρατον αὐγήν;
4 Πῶς οὖν δειλὸς ἀνὴρ ὅσιος Θεοῦ ἄντα φανείη,
Ὅς τε θνητὸς ἔῃ, θνητὴ δέ ἑ γείνατο μήτηρ;
Αἴκε Θεῷ ἐρίσῃ, πῶς ἐν δίκῃ ἔσσετ' ἀμύμων;
5 Δέρκεο τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται·
Ἀστέρες ὡς λαμπροί, ὡς αἰγλήεσσα σελήνη
Ἄμμι βροτοῖσι δοκεῖ; ἐν δ' ὀφθαλμοῖσι Θεοῖο
Ἀστέρες οὐ λαμπροί, οὐκ αἰγλήεσσα σελήνη·
Πολλὰ γάρ οἱ, ὦ Ἰώβε, τὰ καλ' οὐ καλὰ πέφανται.
6 Πῶς οὖν ἄνθρωπος, σκώληξ ὃς δειλὸς ἐτύχθη;
Ἢ παῖς ἀνθρώπου, σκώληξ ὃς δειλὸς ἐτύχθη;

ΚΕΦ. κϛʹ.

1 ΤΟὺν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ἰώβος,
2 Ὦ πόποι, ἦ μάλα δεινὸς ἀνήρ τε λιγύς τ' ἀγορητής.
Ὡς σύ γ' ἄκικυν ἄνδρα τεοῖς ἐπέεσσιν ὄνησας,
Καὶ ὀλιγοδρανέοντι, τῷ οὐ μένος, οὐδέ τις ἀλκή,
Σῇς ὑποθημοσύνῃσι βίην καὶ κάρτος ἔθηκας;
3 Ὡς σύ γ' ἐν ἀφραδέεσσι πέλοις βουληφόρος ἀνήρ,
Τοῖσί τ' ἀλεξίκακον καὶ ἀμύμονα μῆτιν ὑφαίνοις;
Ὡς ἤδη μάλα πᾶσαν ἀληθείην κατέλεξας.
4 Καὶ τίνι ταῦτα λέγεις; τίνος αὖ κατηφιόωντα θυμὸν
Ζωγρεῖς; τίς δ' ἀμπνύνθη, ἐπεὶ σὸν μῦθον ἄκουσε;
5 Καὶ γὰρ ἐγὼ σάφα οἶδα, ὅ οἱ σθένος οὐκ ἐπιεικτόν·
Οὐδ' ἄρα μοῦνον ὕπερθεν, ἐν αἰθέρι καὶ νεφέλῃσιν,
Ἀλλά γε καὶ ὑπένερθεν, ἐν ὕδασιν ἠδὲ θαλάσσῃ,
Πάντων κοιρανέει· νέκυες κατατεθνειῶτες,
Οἵ θ' ἁλὸς ἀτρυγέτοιο μυχοίτατα βένθεα ναῖον,
Αὖτις ἀνεπλάσθησαν ὑφ' ὕδασι τοῖο ἕκητι.
6 Τῷ γὰρ μυχοὶ Ἀΐδαο, καὶ οἰκία δεινὰ πέφανται
Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι καὶ ἄλλοι.

Ῥεῖα

Num quis eſt numerus cœleſtium exercituum ?
Aut quis eſt in terra, ſuper quem Deus non oriri-fecit
Cœlitus dulcémque lucem, & gratum jubar ?
Quomodo igitur miſellus homo juſtus coram Deo appare-
Qui & mortalis fuerit, mortaliſq; cum genuerit mater? (ret,
Si cum Deo contendat, quomodo in judicio erit inculpatus?
Aſpice ſidera omnia, quibus cœlum coronatum eſt :
Stellæ quàm lucidæ, quàm ſplendida luna
Nobis mortalibus videtur! in oculis verò Dei
Stellæ non lucidæ, non ſplendida luna :
Multa enim ei, ô Jobe, quæ pulchra ſunt *aliis*, non pulchra
Quomodo ergò homo, vermis qui miſer eſt ? (videntur.
Aut filius hominis, vermis qui miſer eſt ?

CAP. XXVI.

ILli reſpondit deinde patiens divinus Jobus,
Papæ, certè admodum gravis vir, ſuavíſque orator!
Ut tu debilem virum tuis verbis juviſti,
Et languenti, cui nec ſpiritus, nec ullum robur,
Tuis monitis vim & fortitudinem inſpirâſti?
Ut tu inter ſtultos queas eſſe conſiliarius vir,
Iſque ſalutare & inſigne conſilium texere?
Adeò jam prorſus totam veritatem enarrâſti.
Et cui iſta dicis? cujus denuò anhelantem ſpiritum
Vivificas? quis autem reſpiravit, poſtquam tuum ſermonē au-
Etenim ego apertè novi, quòd ei potentia *eſt* invicta; (diit?
Nec ſolùm supernè, in æthere & nubibus,
Sed etiam infernè, in aquis & mari,
Omnia gubernat: cadavera mortua,
Quæ maris infructuoſi penitiſſimas profunditates incolunt,
Iterum reformantur ſub undis ejus libitu.
Ei autē penetralia inferni, & ſedes terribiles in-conſpectu-
Horrendæ, ſqualidæ, quas horrent alii. (ſunt
Facilè

Ῥεῖα δ' ἀείζηλοί οἱ ἐρινύες ἐν νεκύεσσι
Φαίνοντ' ἐξ ἐρέβεσφι, χάνεν δέ τε τάρταρος εὐρὺς,
Αὐτόμαται δὲ πύλαι μύκον οὐλομένοιο βερέθρου,
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεὺς,
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ὕπερθε
Γαῖαν ἀναῤῥήξειε Πατὴρ ἀνδρῶν τε θεῶν τε.
7 Ὃς βορέην ἐπέτασσεν ὑπὲρ κενὸν, ὑψόθι γαῖαν
Οὐδενὸς ἐκκρεμάσας, ἡ δ' ἵσταται αὐτοθέμεθλος,
Ἡ σι βριθοσύνῃσι διαμπερὲς εὖ ἀραρυῖα.
8 Ὕδατα δ' ἐν πυκνοῖσιν ἑοῖς νεφέεσσιν ἔδησεν,
Οὐδέ ποτ' ἐῤῥάγη νεφέλη βεβριθυῖα περ ἔμπης,
Τοσσοῦτόν τε βάρος φορέουσ' ἐγκύμονι κόλπῳ.
9 Βηλοῦ θεσπεσίοιο φαεινὸν κάλυψεν ὄμμα,
Ὃν θρόνον οὐκ ἀνέφηνε, νέφος δ' ἐπέτασσεν ἐπ' αὐτῷ
Ἠέρα κάκχευεν πολλὴν, ἤχλυσε δ' Ὄλυμπος.
10 Ὅς τε καὶ αἰγιαλὸν μεγάλῃ περίχευε θαλάσσῃ,
Κύμασι δ' ἕρκος ἔθηκε, τὸ τ' οὐ θέμις ἐστὶ περῆσαι,
Εἰσόκεν ἦμαρ νυκτὶ, καὶ ἤματι νὺξ ὑποείκῃ,
Φωτός τε σκότεός τε φέρῃ χαρίεσσαν ἀμοιβήν.
11 Ἀστερόεις δονέοντο πόλος, καὶ κίονες ἄκροι
Οὐρανοῦ ἐκθάμβησαν, ἔσαν τρομέοντες ὁμοκλήν.
12 Πόντον δ' ἦφι βίηφι διέσχισεν ἔνθα καὶ ἔνθα,
Οὖτα δ' ὑπερφιάλους φρεσὶ στωχαλίμῃσι πιθήσας.
13 Αἰθέρα δαίδαλλεν πολυϊδρείῃσι νόοιο,
Οὐρανὸν εὐπρεπέων ἑαῖς ποικίλμασιν ἄστρων·
Δεινὸν ὄφιν, μέγα σῆμα, πέλωρον, θαῦμα ἰδέσθαι,
Στρεβλὸν, πολυέλικτον, ἑῇς τεκτήνατο χερσί.
14 Καὶ τὰ μὲν ἔργα Θεοῦ· ὁ δ' ὑπέρτερος ἔπλετο φήμης·
Ὡς ὀλίγης μοίρας αὐτοῦ πέρι πυνθανόμεσθα·
Δεινὴ δὲ βροντὴ ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ,
Τίς σάφα γινώσκοι τί νύ οἱ μένος ἤθελε θεῖον;

Facilè autem conſpicuæ ei furiæ inter manes
Apparent ex erebo, hiátq; tartarus vaſtus,
Sponte autem ſuâ portæ crepuêrunt exitialis barathri,
Timuit autem ſubtus rex inferorum Lucifer,
Territus autem ſolio exiluit, & clamavit, nè ei deſuper
Terram reſcinderet Pater hominúmq; deorúmque.
Qui aquilonem extendit ſuper vacuum, ſurſum terram
De nihilo ſuſpendens; hæc autem ſtat per-ſe-habens-funda-
Suis ponderibus perpetuò bene compacta. (mentum,
Aquas verò in denſis ſuis nubibus ligavit,
Nec unquam finditur nubes gravata licèt uſquè,
Tantúmque onus geſtans prægnanti gremio.
Liminis divini ſplendidam detinuit faciem, (cum;
Suum thronum non revelavit, nubem autem expandit ſuper
Caliginem offudit multam, obſcuratus autem eſt Olympus.
Qui etiam littus magno circunjecit mari,
Fluctibus autem vallum poſuit, quod nefas eſt transilire,
Dum dies nocti, & diei nox ſucceſſerit,
Luciſque tenebrarúmq; tulerit gratam viciſſitudinem.
Stellatus intremuit polus, & columnæ ſummæ
Cœli conterritæ ſunt, ejus metuentes increpationem.
Pontum ſuâ vi diſcidit hinc & illinc,
Sauciavítque ſuperbos mente prudenti fretus.
Æthera variegavit peritiâ mentis,
Cœlum pulchrorum induens pigmentis aſtrorum;
Dirum ſerpentem, ingens portentum, monſtrum, mirabilem
Tortuoſum, volubilem, ſuis fabricavit manibus. (viſu,
Et hæc quidem opera Dei: ille autem ſuperior eſt famâ;
Adeò exiguam portionem de illo audivimus:
Horrendum verò tonitru quando è cœlo fragorem-dat,
Quis certò novit quid ſibi mens velit divina?

ΚΕΦ. κζʹ.

1 Ἦρα βαρυστενάχων, καὶ οὐκέτι λῆξ' ἀγορεύων,
Ἀψ δ' ὅγε λάζετο μῦθον, ἔπος τ' ἔφατ', ὤμοσέ θ' ὅρκον·
2 Οὐ μὰ Θεοῦ ζωὴν, ὃς ἀκήρατος ἄφθιτος αἰεὶ
Κάρτος ἄπειρον ἔχει, δύναται δέ τε πάντα τελέσσαι,
Ὅς βουλήν μοι ὄλεσσε, καὶ ἐξέλετο φρένας ἐσθλὰς,
Ἠδὲ νόον μοι πικρὸν ἐνὶ στήθεσσιν ἔθηκεν,
3 Οὔποτε θ', ἕως ζώω, καὶ ἔχω ζωαρκέα πνοιὴν,
Καί μοι θεσπεσίη μένει ἐν ῥίνεσσιν ἀϋτμὴ,
4 Οὔ τις ἀκούσει ἐμεῖο κακὸν ἔπος, οὐδ' ἀσύφηλον,
Οὐδέ τ' ἀτασθαλίη μοι ἀμείψεται ἕρκος ὀδόντων,
Οὔτινα κλεψινόοισι παραπλάζω φρένα μύθοις,
Οὐδέ ποτε γλώσσης μειλίγμασιν ἠπεροπεύσω.
5 Οὐδὲ δικαιώσω ὑμέας· ἐπεὶ οὐδὲ γένοιτο·
Οὐδέ τ' ἀπορρίψω μου ἀκηρασίην παλαμάων,
Εἰσόκε τεθναίην, καὶ μόρσιμον ἦμαρ ἐπέλθοι·
6 Ἀλλὰ δικαιοσύνης μου ἀπρὶξ ἔχομ', οὐδὲ μεθήσω·
Οὔ με κρυπταδίοις στυφελίξει ὀνείδεσιν ἦτορ,
Ἕως ποτ' ἔτι ζώω καὶ ὁρῶ φάος ἠελίοιο.
7 Ὃς δέ μ' ἀπεχθαίρῃ, καὶ οὐ φίλα δήνεα εἰδῇ,
Καί μοι ἐναντίβιον, κακά τε φρονέων, ἐπορούσῃ,
Ἴση μοῖρ' αὐτῷ καὶ ἀτασθάλῳ ἀνδρὶ γένοιτο.
8 Τίς γὰρ ἔτ' ἐλπωρὴ σκολιόφρονος ὑποκριτῆρος;
Εἰ καί οἱ δεκάκις τε καὶ εἰκοσάκις τόσα εἴη,
Ὅσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
Χρήμασιν ἐν τόσσοισι τί οἱ μέγα κέρδος ὀπηδεῖ,
Ὄφρα Θεός τ' ἀπὸ οἱ μελιηδέα θυμὸν ἕληται;
9 Ἦ ῥ' οὗ λισσομένοιο Θεὸς περίφρων ἐπακούσει;
Εὐχωλῇσιν ἑῇσι μάλ' ἵλαον οὖας ἐρείσει,
Ἄτη ὅτε στυγερὴ χαλεπός τέ μιν οἶτος ἱκάνοι;
10 Ἦ ῥά νυ χάρμα Θεὸς μέγ' οἱ ἔσσεται, ᾧ τε πεποίθῃ;
Τῷ δ' ἐπαγαλλόμενος φρένα τέρψεται ἤματα πάντα;

φωνῇ

CAP. XXVII.

Dixit graviter-ingemiſcens,& nondú ceſſavit à concione,
Iterum verò ille cepit ſermonem , verbúmq; dixit , juravítque juramentum;
Per Dei vitam, qui incorruptibilis immortalis ſemper
Robur optimum habet, potéſtq; omnia perficere,
Qui judicium meum perdidit, & abſtulit mentem ſanam,
Et animum mihi amarum in pectoribus poſuit,
Nunquam quoad vivam, & habeam vitale ſpiraculum,
Et mihi divinus maneat in naribus ſpiritus,
Quiſquam audiet ex me malum dictum,neq; ignominioſú.
Neque iniquitas mihi transibit ſeptum dentium,
Nullius fallacibus ſeducam mentem ſermonibus,
Nec unquam linguæ blandimentis decipiam.
Neque juſtificabo vos, id verò abſit,
Neq; abjiciam meam integritatem manuum,
Donec moriar, & fatalis dies veniat:
Sed juſtitiæ meæ mordicus adhæreo, neque dimittam:
Non me clandeſtinis inceſſet contumeliis cor,
Quamdiu adhuc vivo, & video lumen ſolis.
Qui autem me oderit, & non amica conſilia noverit,
Et mihi ex-adverſo maláque cogitans inſurrexerit,
Æqualis ſors illi & improbo homini contingat.
Quæ enim ſupereſt ſpes obliquum-animum-habentis hypocritæ?
Etiam ſi ei decies, ac vicies totidem eſſent,
Quot ei nunc ſunt, & ſi alicunde alia acceſſerint,
Opibus in tantis quodnam ei magnum emolumentú aderit,
Quando Deus ei dulcem animam eripiet?
Nunquid eum ſupplicantem Deus proclivis audiet ?
Precibúsque ejus valde propitiam aurem inclinabit,
Damnum cùm infeſtum gravíſq; ei calamitas ſupervenerit?
Nunquid oblectamentú Deus ei magnú erit,cui confidat?
In illo autem exultans animitus delectabitur dies omnes?

Vocéque

Φωνῇ τ' ἀλλήκτῳ ἱκέτης οἱ εὔξεται εἶναι;
11 Ὕμμι δ' ἐγὼ περίφρων ὑποθήσομαι, οὐδ' ἐπικεύσω,
Ὅσσα Θεοῦ κλυτὰ ἔργα, πάλαι τά τε χερσὶν ἔρεξε
Θαύματα, θεσπεσίης δείξω κειμήλια βουλῆς.
12 Εἰ δ' ὔμμες σάφα ἴστε, καὶ ὀφθαλμοῖσιν ἴδεσθε
Πάντα μάλ' ὡς ἐγένοντ' (ἐπεὶ οὐκ ἀδαήμονές ἐστε)
Τίπτ' ἔτι μαψιδίοισι φίλῳ ἐειδαίνεσθ' ἑταίρῳ;
13 Αὕτη μὲν πέλει μοῖρα κακῶν, καὶ θέσφατος αἶσα,
Καὶ τόδ' ἀπ' οὐρανόθεν λέλαχον γέρας ἄνδρες ἀγαυοί,
Οἵ τ' ἄλλους τρύχουσιν ὑπέρβιον ὕβριν ἔχοντες.
14 Τῶν εἴ τις λέκτροιο φίλοις δώροισι κέκαστο,
Καὶ πολύτεκνος ἔην, ἀλλ' ἔμπης γείνατο παῖδας
Αἰνομόρους, καὶ τούσδε μινυνθαδίους τέκε μήτηρ·
Ἢ γὰρ ἐνὶ πτολέμῳ δηΐων ὑπὸ χερσὶ δαμέντες
Φασγάνῳ αἱματόεντι βεβλήαται, ἠδ' ὀλέκοντο,
Ἢ καὶ (ὃς οἴκτιστος θάνατος δειλοῖσι βροτοῖσι)
Λιμῷ τεθνήκασιν, ἐπεὶ σίτοιο χάτιζον.
15 Εἰ δέ τις οἱ περίλοιπος ἐν ὀψιγόνοισι γένηται,
Ἐς τάφον ἄκλαυτος καταβήσεται, οὐδέ τι χῆραι
Ἀμφ' αὐτῷ χύμεναι λίγα κωκύσουσι γυναῖκες,
Ὧδε δέ τις ἐρέουσα, καὶ ἐξάρχουσα γόοιο,
Ὤ μοι ἐγὼ δειλή, ὤμοι δυσαριστοτόκεια.
16 Ἄργυρον εἰ συναγείρῃ ἀθέσφατον ἠΰτε κονίην,
Χλαίνας τ' ἠδὲ χιτῶνας, ἐϋννήτους τε τάπητας,
Καὶ πληθὺν ἐσθῆτος ἀπείριτον, ἠΰτε πηλὸν,
Ὃς πάσης ἐν ὁδοῖσιν ἀεὶ κέχυτ' ἤλιθα πολλός·
17 Ὅς κεν ἑτοιμάσσαιτο, πόνος δέ τ' ἀχρήϊος ἔσται·
Οὐδ' οἱ χραισμήσει τόσα ἀργυρέοιο τάλαντα,
Οὐδὲ τόσ' εἵματα καλά· Θεὸς γάρ οἱ ὄλβον ἀπούρας
Ἀνδράσιν ἰθυνόοις δώσει τάδε πάντα δάσασθαι.
18 Ὅσσα θ' οἱ ἀγλαΐηφι τετεύχατο δώματα καλὰ,
Χρύσεα, μαρμαίροντα, δοκεῖ δέ οἱ ἄφθιτα εἶναι,
Ἀλλὰ τὰ μέν τ' ἀβληχρὰ πέλει, ὡς οἰκία σητὸς,
Ἠΰτε τε σταθμὸς ποιμένιος, οὐδενόσωρος,
Ὅς τάχα που ἔρειπε σμικρῆς ἀνέμου ὑπ' ἰωῆς.
19 Εὐκτήμων κατέλεκτο, πολὺς δέ οἱ ὄλβος ὀπίσσω,

Ἔχετο

Vocéque jugi ſupplicem ſe ei profitebitur eſſe ?
 Vos verò ego lubens docebo, neque celabo,
Quæ Dei præclara opera *ſint*, olim quæque manibus fecit
Miracula, divini oſtendam theſauros conſilii.
 Quòd ſi vos *ipſi* certò nôſtis, & oculis vidiſtis (eſtis)
Omnia prorſus ut fiebant, (quandoquidem haud imperiti
Utquid adhuc inanibus *verbis cum* charo contenditis amico?
 Hæc certè eſt portio malorum & fatalis ſors,
Et hoc cœlitus nacti ſunt præmium viri inſolentes,
Quíque alios affligunt ſuperbâ violentiâ freti.
 Horum ſiquis lecti charis pignoribus ornatus ſit,
Et abundet liberis, at certè genuit filios
Malo-fato, & eos brevis-ævi peperit mater:
Aut enim in bello hoſtium manibus ſubacti
Enſe ſanguinolento percuſſi ſunt & periere;
Aut etiam (quæ miſerrima mors *eſt* miſeris mortalibus)
Fame mortui ſunt, quandoquidem cibo caruere.
 Quòd ſiquis ei ſuperſtes inter poſteros fuerit,
In ſepulcrum indefletus deſcendet, nec viduæ
Circa eum fuſæ ſtridulè ejulabunt fœminæ,
Ità quæpiam dicens, & incipiens luctum, (*filium*!
O me miſeram! ô me infauſto-omine-enixam-optimum-
 Argentum ſi congeſſerit immenſum ſicut pulverem,
Lænáſque & tunicas, & bene-netos tapetes,
Et copiam veſtimentorum infinitum, tanquam lutum,
Quod omnibus in viis ſemper ſpargitur admodum multum;
 Ille præparare-queat, labor autem inutilis erit,
Neque ei proderunt tot argenti talenta,
Neque tot veſtes pulchræ: Deus enim ei opes eripiens
Viris juſtis dabit hæc omnia diſtribuere.
 Quæque ei ſplendidè extructa ſunt ædificia pulchra,
Aurea, fulgentia, videntur autem ei immortalia eſſe,
At hæc quidem infirma ſunt, quaſi domicilia tineæ,
Velutíque ſtabulum paſtorale vile,
Quod citò utique corruit exiguo venti flatu.
 Locuples decubuit, multæque ei opes ſuppetebant,

Ἔγρετο δ' ἐξ ὕπνοιο, καὶ οὐδέ τι πάμπαν ἐτύχθη,
Ὀφθαλμοὺς ἀνέῳξε, καὶ οὐδέ τι λοιπὸν ὄπωπεν.
Ἕσπερος ἀφνειὸν λίπεν, ἠὼς εὗρε πενιχρόν.
20 Δείματά μιν κατέμαρψεν ἐπήτριμα, ἄλλο μετ' ἄλλο,
Ἠΰτε κύματα μακρὰ πολυφλοίσβοιο θαλάσσης,
Ἠδὲ κακαὶ διὰ νυκτὸς ἀνηρείψαντο θύελλαι.
21 Εὖρος ἐπιστέρχων μιν ἀφήρπασεν (ᾤχετο δ' αὐτὸς)
Τῆλέ τ' ἀπεσυφέλιξεν ἐρεμνῇ λαίλαπι θύων.
22 Λυγρὰ γὰρ πόλλ' ἐπὶ οἱ ῥίψει Θεὸς, οὐδ' ἐλεήσει,
Ἀσπάσιόν κέν οἱ εἴη ἑὰς ὑπὸ χεῖρας ἀλύξαι.
23 Ἀνδρῶν εἰν ἀγορῇ χειρῶν κρότος αἰὲν ἐπ' αὐτῷ
Ὤρνυτ' ἀεικέλιος, πολλῶν δ' ἐπισυρισσόντων
Ἐξ ἑδέων μιν ἔκλεψε κατηφείη τε καὶ αἰδώς.

ΚΕΦ. κή.

1 Ἀργύρῳ ἐστὶ μέταλλον ὑπὸ χθονὸς, ᾗ ἀνορύχθη,
Καὶ χρυσῷ τόπος ἐστὶν, ὃν ὕστερον ἐν χοάνοισι
Τέκτων ἀμφιπονεῖται ἰδυίῃσι πραπίδεσσι.
2 Μητέρος ἐκ γαίης ὀλοὸν τόκος ἤλυθε σίδηρος,
Ἐκ λίθου ἑλκόμενος χωνεύετο χαλκὸς ἀτειρής.
3 Ἦ γὰρ θνητὸς ἀνὴρ πολυϊδρείῃσι νόοιο
Δῦεν ὑποχθονίους τε μυχοὺς, καὶ ἔσχατα γαίης
Σμερδαλέ', ἀχλυόεντα, φάος τ' ἐνὶ κευθέεσσιν ἧκε,
Χρήματα μαστεύων, καὶ πᾶν πολύτιμον ἐραυνῶν.
Ἢ χάλυβ', ἢ χαλκοῖο γονὴν, ἢ σπέρματα χρυσοῦ·
Τιμήεντας δ' ὑπένερθε λίθους, καὶ πάντα μέταλλα
Δεινοῦ ἐκ κόλποιο, καὶ ἐκ ψαμάθοιο βαθείης
(Τοῦτόν κεν φαίης σκιῇ ἐν θανάτοιο μελαίνῃ
Ἔμμεναι, ὅστις ὄρυξε· τόσον χάνεν εὐρεῖα χθὼν)
Ἐξάγαγε προφόωσδε, τὰ δ' ἠελίου ἴδεν αὐγάς.
4 Εἰ δέ ποτ' ἐξαπίνης ὕδωρ ῥέεν ἔνδοθι βόθρου
Ὑψόσ' ἀναβλύζον. (σφαραγεῦντο γὰρ ὕδατα γαίης)
Εἴ τ' ἄλλως κατ' ὄρεσφιν ὀπαζόμενος Θεοῦ ὄμβρῳ

Surrexit autem è ſomno, & nihil omnino erat,
Oculos aperuit, & nihil quicquam reliquum vidit.
Veſper divitem liquit, aurora invênit pauperem.
Terrores eum apprehenderunt crebri, alius poſt alium,
Sicut fluctus longi multiſoni maris,
Et malæ per noctem abripuerunt procellæ.
Eurus ingruens eum abripuit (evanuit autem ille)
Procúlque amovit nigro turbine furens.
Triſtia autem multa ſuper eum projiciet Deus, neque mi- (ſerebitur,
Gratum utique ei foret illius manus effugere.
Hominum in concilio manuum comploſio ſemper contra (illum
Orta eſt probroſa, multis verò exſibilantibus
E ſedibus eum ſufflaratus eſt mœror & pudor.

CAP. XXVIII.

ARgento eſt vena ſub tellure, ubi effoditur,
Et auro locus eſt, quod poſtea in vaſis-fuſoriis
Faber elaborat peritâ mente.
Matre è terra pernicioſa proles venit ferrum,
E lapide extractum conflatur æs ſolidum.
Certè enim mortalis homo prudentiâ animi
Penetravit ſubterraneas cavernas, & viſcera terræ
Horrenda, tenebricoſa, lucémque penetralibus immiſit,
Divitias inquirens, & omne pretioſum ſcrutans,
Aut chalybem, aut æris venam, aut ſemina auri:
Pretioſos autem ſubtèr lapides, & omnia metalla
Vaſto è ſinu, & ex arena profunda
(Hunc certè diceres umbra in mortis nigra
Eſſe, qui fodit, adeò dehiſcit lata terra)
Eduxit in lucem; ea autem ſolis viderunt jubar.
Quòd ſi quando repentè unda fluat intra fodinam,
Surſum ſcaturiens, (diſtenta enim erant ubera terræ)
Sive aliter de montibus auctus Dei imbre

Χειμάῤῥους ἐπόρουσε, καὶ οὔπως ἐστὶ πέδοισι
Στήμεναι ἀμφοτέροις, μινύθει δέ τε ἔργ' ἀνθρώπων
Τόφρ' ὀχετηγὸς ἀνὴρ ποταμῶν στόματ' ἄλλυδις ἄλλο
Τρέψεν ἐπισταμένως ὕδατος ῥόον ἡγεμονεύων,
Χερσὶ μάκελλαν ἔχων, ἀμάρης δ' ἐξ ἔχματα βάλλων,
Ἢ διὰ σωλήνων· τὸ δέ τ' ὦκα ῥέον κελαρύζει
Κῦμα παλιῤῥόθιον, φθάνει δέ τε καὶ τὸν ἄγοντα.
5 Χθὼν ἱερὴ γενέτειρα πέλει θρεπτήριος ἄρτου,
Τῆς δ' ὑπὸ νηδυίοις ἀνερεύγεται ἐνδόμυχον πῦρ.
6 Σαπφείρων τόπος εἰσὶ λίθοι ὑπὸ κεύθεσι γαίης
Μητέρος, ἣ πολύχρυσον ἔχει ἐνὶ γαστρὶ κονίην.
7 Ἔστι μὲν ἀτραπιτὸς τὴν οὔ τι ποτ' ὄρνεον εἶδεν,
Οὐδέ τις αἰγυπιὸς βλέπεν ὄμμασιν, ὅν ῥά τε φασὶν
Ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν.
8 Τὴν οὐδ' οὔτ' ἄρ' ἴσαν σκύμνοι χαροποῖο λέοντος,
Οὔτε λέων βλοσυρὸς στείβει δεινοῖσι πέδοισι·
Τὴν δ' ἐπάτησεν ἀνὴρ γαίης κειμήλια διφῶν.
9 Ὅς δέ τ' ἐπεὶ θησαυρὸν ἐέλπετο νέρθεν ἐόντα,
Πέτρας ἐδνοπάλιξε, βίῃ καὶ χερσὶ πεποιθώς,
Πέτρας ἐστυφέλιξε, κατέστρεψεν δὲ κάρηνα
Ἠλιβάτων ὀρέων, τὰ δὲ ῥιζόθεν ἐξεριπόντα
Κάππεσε ῥοιζηδὸν, βουνοὶ δ' ἀνεκυμβαλίαζον.
10 Ἐν σκοπέλοισι μέσοις ποταμοὺς βαθυδινήεντας
Ὤρυχε, πᾶν πολύτιμον ἑοῖς τ' ὀφθαλμοῖς ὄπωπεν.
11 Εἴργει πληθόντων ποταμῶν ἀλεγεινὰ ῥέεθρα.
Ἰορδάνα μέγα κῦμα, τὸ δ' οὐχ ὑπεράλλεται ὄχθας.
Εἴ τι καλακρυφθῇ, τάχα δ' ἤγαγεν αὐτὸ φάοσδε.
12 Ποῦ δ' ἄρα τις δύναται σοφίην διζήμενος εὑρεῖν;
Ἢ καὶ τίς πέλε χῶρος ἐχεφροσύνης ἐρατεινῆς;
13 Οὐ γάρ τις ποτὲ οἶδεν ἐπιχθονίων ἀνθρώπων
Ὡς ἐείτιμος ἔφυ, πάντων τ' ἀντάξιος ἄλλων·
Οὐ βροτοῖς εὑρετός ἐστι, καὶ οὐ ζωοῖσιν ὀπηδεῖ.
14 Οὐκ ἐν ἐμοί, φάμενος, στερεῶς ἀπανήνατο βυσσὸς,
Οὐ παρ' ἐμοί, φαμένη, κρατερῶς ἀπέειπε θάλασσα.
15 Οὔ τις μιν χρυσῷ πρίαται, κἂν μυρία δοίη,
Οὐδέ ποτ' ἀργυρίῳ, κἂν ἄσπετον ὦνον ἐνείκοι.

Οὐδ'

Torrens ingruat, & nullo-modo licet pedibus
Stare ambobus, minuuntur autem opera hominum:
Tum aquæ-ductor homo fluviorum oſtia aliò aliud
Avertit ſcienter, aquæ rivum deducens,
Manibus ligonem habens, & ex alveo obices amovens,
Aut per tubos; celeriter autem fluens immurmurat
Unda retrograda, præcurrit autem & ipſum ductorem.
Terra ſacra parens eſt homines-nutrientis panis,
Ejúſque ſub viſceribus eructatur inteſtinus ignis.
Sapphirorum locus ſunt lapides ſub penetralibus terræ
Matris, quæ auro-abundantem geſtat in utero pulverem.
Eſt quidem ſemita, quam nulla unquam avis vidit,
Neque vultur conſpexit oculis, quem etiam aiunt
Acutiſſimè cernere inter aërias volucres.
Hanc viam nec iverunt catuli fulvi leonis,
Neque leo torvus calcat horrendis pedibus;
Eam tamen calcavit homo terræ theſauros ſcrutans.
Qui ſiquidem theſaurum ſperaverit ſubtus-exiſtentem,
Petras concuſſit vi & manibus fretus,
Petras dimovit, ſubvertítque cacumina
Celſorum montium, hi autem radicitus collapſi
Cecidere cum-ſonitu, colles autem ſubvertebantur.
In rupibus mediis fluvios profundi-vorticis
Fodit, omne pretioſum ejus oculus vidit.
Coercet inundantium fluviorum gravia fluenta,
Siſtit magnum fluctum, hic autem non tranſilit ripas.
Siquid abſconditum ſit, ſtatim eduxit illud in-lucem.
Ubi autem quis poteſt ſapientiam quærens invenire?
Aut quis eſt locus prudentiæ amabilis?
Nec enim quis unquam novit terreſtrium hominum
Quàm pretioſa ſit, omniúmque *rerum* inſtar aliarum:
A mortali inveniri non poteſt, & vivis non adeſt.
Non *eſt* in me, dicens, ſtrenuè abnegavit abyſſus,
Non apud me, dicens, fortiter recuſavit mare.
Nemo ipſam auro emit, etſi innumera det,
Needum argento, licèt immenſum pretium ferat.

Οὐδὲ γὰρ οὐκ ἄμφω σοφίῃ ἀντάλαντα γένοιντο,
Οὐδ᾽ εἴ τις τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε,
Οὐδ᾽ εἰ καὶ δεκάκις τε καὶ εἰκοσινήεκτα δῶρα.
16 Χρυσὸς ὁ ὄβρυζος μέγ᾽ ἀνάξιός ἐστιν ἐκείνης,
Οὐδὲ τόση τιμὴ ὄνυχος καὶ σαπφείροιο.
17 Τῇ οὔτε χρυσὸς πολυδαίδαλος ἰσοφαρίζοι,
Οὔτε κρύσταλλος καθαρός· τὴν δ᾽ οὔτις ἀμείβοι
Καλῶν ἀντὶ λίθων ἐριτίμοιο χρυσοῖο.
18 Οὐδέ τις ἔσται μνήμη ἐρυθροῦ κουραλίοιο,
Μάργαρα τηλεφανῆ οὐδ᾽ ἐν λόγῳ, οὐδ᾽ ἐν ἀριθμῷ·
Τοῦτο γὰρ λωΐτερον πάντων πέλε μαργαριτάων,
Δῖα φρόνις, πινυτός τε νόος, καὶ θυμὸς ἐχέφρων.
19 Ἀξίη οὐ ἴση πέλεται ξανθοῖο τοπάζου,
Ὃς καὶ ἀπ᾽ Αἰθιόπων μετενείκετο τηλόθ᾽ ἐόντων·
Οὐ χρυσὸς καθαρός περ ἐὼν καὶ πολλὸν ἄπεφθος
Ἰσοπαλής, ἐπεὶ οὔποθ᾽ ὁμοίης ἔμμορε τιμῆς.
20 Τοὔνεκεν ἡ σοφίη πόθεν ἤλυθε πότνια μήτηρ;
Ἢ καὶ τίς πέλε χῶρος ἐχεφροσύνης ἐρατεινῆς;
21 Παντὸς ὅτι ζωοῖο καὶ ἐπὶ χθονὶ δερκομένοιο
Ῥηϊδίως λάθεν ὄμμα, καὶ οὐκ ἤντησεν ὀπωπῆς·
Οὐδέπω ἐστ᾽ ἀΐδηλος ὑπουρανίοις πετεηνοῖς,
Οἷσι καὶ ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε.
22 Πότμος καὶ θάνατος διδυμάονες ἀρνήσαντο,
Καὶ ἕνα θυμὸν ἔχοντες ὁμόθροον ἴαχον αὐδήν,
Ἡμεῖς μὲν κλέος οἶον ἀκούομεν, οὐδέ τι ἴδμεν.
23 Ἀλλὰ Θεὸς καὶ ὁδὸν νοέει, χῶρόν τε γινώσκει,
Ποῦ σοφίη μίμνει σάφα οἶδε, καὶ ὁππόθι ναίει.
24 Πάντοτε γὰρ παπταίνει ἐπ᾽ ἔσχατα πείρατα γαίης,
Τῆλε δ᾽ ἀπ᾽ οὐρανόθεν πανεπίσκοπον ὄμμα τιταίνει.
25 Ὁππότε βυκτάων ἀνέμων λαιψηρὰ κέλευθα
Θῆκεν, ὅπως βομβηδὸν ὑπὸ νέφεσι κλονέωνται,
Στῆσε δ᾽ ἐνὶ πλάστιγγι βαρυπνείοντας ἀήτας,
Τοὺς γὰρ ταλαντεύεσκε, καὶ ὕδασι μέτρον ἔδωκε
Εὖ καὶ ἐπισταμένως, στάθμη δ᾽ ἴθυνε θαλάσσας,
Καρρόοον ὄφρα φέροιτο, καὶ οὐκ ἐπὶ χέρσον ὀρούσαι·
(Πείρατα γὰρ τούτων εἰ μὴ κατὰ κόσμον ἄρηρε,

Αὐτίκα

Neque enim ambo ſapientiæ æquiparanda ſunt,
Nec ſiquis tot daret, quot arenáque pulvíſque,
Neque ſi deciéſque, & vicies-infinita dona.
Aurum obryzum valde indignum eſt illâ,
Neque tantum pretium eſt onychis & ſapphiri.
Cum ea nec aurum affabre-factum comparari-queat,
Nec cryſtallum purum; eam autem nequis permutare-velit
Pulchris pro lapidibus pretioſi auri.
Neque ulla erit mentio rubri coralii,
Gemmæ pellucidæ nullo in pretio nec numero:
Hoc autem præſtantius omnibus eſt margaritis,
Divina prudentia, ſoléſque animus, & mens ſapiens.
Valor non tantus eſt flavi topazii,
Qui ab Æthiopibus venit longè ſemotis:
Non aurum, purum licèt ſit & multùm excoctum,
Par *ei eſt*, quia nunquam ſimile ſortitum eſt pretium.
Ergò ſapientia unde venit veneranda mater?
Aut quis locus eſt prudentiæ amabilis? (tis
Cujuſque ſiquidem viventis, & ſuper terram *lucem* videntis.
Facilè latuit oculum, & non occurrit in conſpectum.
Needum eſt conſpicua aëriis volucribus,
Quibus acutiſſimè ex capite cernunt oculi.
Perditio & mors gemelli abnegârunt,
Et unum animum habentes concordem ediderunt vocem,
Nos quidem famam tantùm accipimus, nihil ſcimus.
At Deus & viam intelligit, locúmque cognoſcit,
Ubi ſapientia manet clarè novit, & ubi habitat.
Undique enim circunſpicit in extremos fines terræ,
Longè de cœlo omniſcium oculum extendit.
Quando procelloſorum ventorum celeres vias
Poſuit, ut cum-ſtrepitu ſub nubibus tumultuarentur,
Statuit autem in lance graviter-ſpirantes ventos,
Eóſque libravit, & aquis menſuram dedit
Bene & ſcienter, amuſſi autem æquavit mare,
Per alveum *ſuum* ut flueret, & non in terram erumperet:
(Limites enim horum niſi ſecundùm ordinem fixi eſſent,

Αὐτίκα σύγχυτο πάντα, καὶ αἰθέρι μίσγετο πόντος)
26 Καί τ' ὀμβρείοιο ῥοῇσιν ἀπείρμονα θεσμὸν ἔθηκεν,
Ὄφρ' ἀδινῆς ψεκάδεσσιν ἅλις δεδίωατ' ἄρουραι,
Βροντῇ τε στεροπῇ τε διέσχισε δίαν ἀταρπὸν,
Ὄφρα σμερδαλέος πάταγος κατ' Ὄλυμπον ὀρώρῃ,
Ἀλλομένοιο πυρὸς νέφεος διὰ ῥησσομένοιο.
27 Ταῦθ' ὅτε μὲν τὰ πρῶτα Θεὸς κοσμήσατο πάντα,
Δὴ τότε μιν θηεῖτο, καὶ ᾧ πεμπάζετο θυμῷ
Εὖ διαγινώσκων, καὶ ἐρευνήσας μιν ἔτετμεν.
28 Ἀνέρι δ' εἶπεν, Ἰδοὺ σοφίη πέλε δεῖμα Θεοῖο,
Ἡ δὲ φυγὴ κακότητος, ἐχεφροσύνη ἐρατεινή.

ΚΕΦ: κθ'.

1 ὯΣ φάτο· τὸν δ' οὔ τις προσεφώνεεν εἰν ἑτάροισιν,
Ἀλλ' ἄνεῳ ἐγένοντο· πάλιν δ' ὅγε μῦθον ἔειπεν·
2 Εἴθ' ὡς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη,
Ὡς προτέροις μήνεσσι καὶ ἤμασιν, ὄφρα Θεός μοι
Ἐν πάντεσσι πόνοισι παρίστατο, καί μ' ἐφύλασσε.
3 Τοῦ καὶ ἐμῇ κεφαλῇ δαΐδων πέρι λαμπομενάων,
Θεσπέσιόν μοι φέγγος ἀνὰ ζόφον ἴχνος ὀδήγει,
Ἀσφαλέως καὶ βέβηκα διὰ κνέφας οὔποτ' ὀλισθών.
4 Ὡς ὅτε μοι ἥβης χαριέστατον ἄνθος ἔχοντι
Βουλὴ Ἀθανάτοιο περὶ κλισίηφιν ἔμιμνεν.
5 Ὡς πάρος, ὄφρ' ἔτι μοι σὺν μὲν Θεὸς, ἀμφὶ καὶ τέκνα.
6 Ὡς ὅτε βουτύρῳ πάντ' ἴχνιά μοι ἐλόεσσα
Πιαλέῳ, γλυκερῷ, λισσὴ δ' ἀναδέδρομε πέτρη,
Βλύσσε δέ μοι λιπαροῦ μελιηδέα νάματ' ἐλαίου.
7 Εἴ ποτ' ἐγὼν ἀνόρουσα, πύληνδ' ἴμεν, ἢ κατὰ ἄστυ
Ἤλυθον, ἢ ἐν ἀγυιῇ ἐμὴν ἔντυνα καθέδρην·
8 Ὡς ἴδον, ὡς ἐκρύφθεν ὁμοῦ θαλεροὶ αἰζηοί,
Μίμνειν δ' οὐκ ἔτλησαν, ἐμὸν δ' ἅζοντο πρόσωπον,
Αἰδοῖ τε σέβας εἷλεν· ἀνέστησαν καὶ γέροντες,
Στῆσαν θ' ὡς μ' ὁρόωντο, σέβας τ' ἔχον ἄνδρα ἰδόντες.

9 Ἴφθιμοι

Statim confunderentur omnia, & ætheri miſceretur mare)
Etiam & pluviæ ſtillationibus æternam legem poſuit,
Ut crebris guttis ubertim rigarentur arva;
Tonitruóque fulgetróque diſcidit divinam ſemitam,
Ut horrendus fragor per Olympum excitaretur,
Saliente igni nubem per diſruptam.
Hæc cùm in-principio Deus ordinavit omnia,
Jam tum ipſam aſpexit, & *in* ſuo perpendit animo
Bene diſcernens, & ſcrutatus eam invênit.
Homini autem dixit, Ecce ſapientia eſt timor Dei,
Fuga autem mali, prudentia amabilis.

CAP. XXIX.

SIc dixit; cum verò nemo allocutus eſt inter ſodales,
At muti facti ſunt; rurſus autem is ſermonem dixit:
Utinam ſic pubeſcerem, vires autem mihi integræ eſſent,
Sicut *in* priſtinis menſibus & diebus, quando Deus mihi
In omnibus laboribus adfuit, & me cuſtodivit.
Cujus etiam circa meum caput lucernis fulgentibus,
Divina mihi lux per caliginem greſſum dirigebat,
Tutò autem incedebam per tenebras nunquam vacillans.
Sicut quando mihi juventæ gratiſſimum florem habenti
Conſilium Immortalis circa tentorium manſit.
Sicut antea, cùm adhuc & mecum Deus, & circa *me* liberi.
Sicut quando butyro omnes greſſus meos lavi
Pingui, dulci, lævis autem eminuit rupes,
Effudítque mihi pinguis ſuaves latices olei.
Siquando ego ſurrexi ad-portam iturus, aut per urbem
Veni, aut in compito meam apparavi cathedram: (juvenes,
Quamprimum viderunt, abſconderunt ſe ſimul florentes
Manere .a. non ſuſtinuerunt, meúmq; reverebantur vultum,
Pudórque ipſos cepit; ſurrexerunt verò ſenes,
Steterúntq; ut-primum me cernerent, veneratióq; tenuit virum unumquemque.
Magnanimi

9 Ἴφθιμοι βασιλῆες ἀκὴν ἐγένοντο σιωπῇ,
Αἴδεσθεν δὲ λέγειν, ἐπὶ μάστακα χεῖρα τιθέντες.
10 Δὴν δ' ἄνεῳ ἔστησαν ἀγακλυτοὶ ἡγεμονῆες,
Τῶν καὶ σιγαλέῃ κολλήθη γλῶσσα λάρυγγι.
11 Οὖας ἐμὴν φωνὴν ὡς ἔκλυεν, ὥς μακάριζεν,
Ὧδε δέ τις εἴπεσκεν, ὅτ' αὐδήσαντος ἄκουσεν,
Ὦ μάκαρ Ἰὼβ, μοιρηγενὲς, ὀλβιόδαιμον,
Τρισμάκαρες μέν σοί γε πατὴρ καὶ πότνια μήτηρ,
Γαστὴρ δ' ἥ σ' ἐλόχευσε μακαρτάτη· ὥς τις ἔειπε
Μῦθον ἀγασσάμενός μευ ὅτ' ἔκλυε φωνήσαντος.
Καί μ' ὀφθαλμὸς ὄπωπεν, ἐμοί τ' ἐπιμάρτυρος ἔσκεν.
12 Ὡς πτωχοῦ ἐσάωσα δίκην, καὶ ἄκουσα λιτάων,
Λώβην τινύμενος, καὶ ὑπέρβιον ὕβριν ἀλάλκων·
Ὡς τε πατὴρ γενόμην, καὶ ἐπίτροπος ὀρφανικοῖο,
Πρόφρων δ' οἱ ἐπάμυνα, τῷ οὐκ ἐπιτάρροθος ἦεν.
13 Ὅς τ' ὀλιγηπελέεσκε, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος,
Εὔχετο χεῖρ' ὀρέγων, καί μοι μάλα πόλλ' ἱκετεύων,
Γουνοῦμαί σε, ἄναξ, ἱκέτης δέ τοι εὔχομαι εἶναι
Σοὶ δὲ Θεὸς τόσα δοίη, ὅσα φρεσὶ σῇσι μενοινᾷς.
Ὡς ἔφατ' εὐχόμενος, τοῦ καὶ Θεὸς ἔκλυεν αὐδῆς.
Δηθαὶ σφυγομένης χήρης ἐγέλασσε φίλον κῆρ
Γηθοσύνῃ, τοῖος γὰρ ἐγώ οἱ ἐπίρροθος ἦα.
14 Βῆν δὲ δικαιοσύνην ἐπιειμένος ἠΰτε χλαῖναν,
Ἦν δέ μοι εὐνομίη ὡς διάδημα καὶ ἐσθής.
15 Ὄμματα μὲν τυφλοῖσιν ἔην, χωλοῖσι δὲ ταρσά.
16 Αἰεὶ δὲ πτωχοῖσι, πατὴρ ὥς, ἤπιος ἦα,
Ἠρεύνησα δίκας, ὅτ' ἐν ἀνδράσι νεῖκος ὄρωρεν,
Ὄφρα διαγνοίην ἢ μὲν κακὸν ἠδὲ καὶ ἐσθλόν.
17 Γαμφηλὰς συνέαξα πελωρίου ὑβριστῆρος,
Ληΐδα δ' οἱ γλυκερὴν μέσσων ἐξήρπασ' ὀδόντων.
18 Τόφρα δ' ἔφην θαλίῃσι καὶ εἰρήνῃσι πεποιθώς,
Ἄτρομος, ἡσύχιος τεθνήξομαι εἰνὶ καλιῇ,
Οἴκῳ ἐν ἡμετέρῳ ἐπὶ γήραος ἵξομαι οὐδόν,
Ἤματά μευ ζωῆς ἔσαι ψαμάθοισιν ἶσα.
19 Ῥίζα δέ μευ καλοῖσιν ἐκίδνατο ἀμφὶ ῥεέθροις,
Παννυχίην τ' ἐμὸν ἔρνος ἔχεν τεθαλυῖαν ἐέρσην.

20 Αἰεὶ

Magnanimi reges muti erant ſilentio,
Verebantúrque loqui, ſuper os manum ponentes.
Diu autem muti ſteterunt præclari principes,
Eorum etiam taciturno adhæſit lingua palato. (dicavit,
Auris meam vocem quamprimum audiit,beatum-*me*-præ-
Sic autem quiſpiam dicebat, cùm loquentem audiit,
O beate Jobe, bono-fato-nate,fortunate,
Ter-beati tibi pater & veneranda mater,
Venter autem qui te enixus eſt, feliciſſimus: ſic aliquis dixit,
Sermonem admirans, me cùm audiit loquentem.
Et me oculus vidit, mihíque teſtis fuit.
Quòd pauperis ſervavi jus, & audivi preces,
Contumeliam ulciſcens, & ſuperbam injuriam propulſans;
Velutíque pater eram & tutor orphani,
Propenſus autem ei opitulatus ſum, cui auxiliator non erat.
Quique languebat, propè autem ei erat mors,
Precabatur manus extendens, & me valde multùm orans,
Obſecro te, rex, ſupplex autem tibi eſſe profiteor,
Tibi verò Deus det,quanta animo tuo concupiſcis.
Sic dixit precans, cujus etiam Deus audiit vocem.
Diu afflictæ viduæ riſit charum cor
Præ lætitia, talis enim ego ei auxiliator fui.
Incedebam autem juſtitiâ indutus tanquam pallio,
Erátque mihi integritas quaſi diadema & veſtimentum.
Oculi cæcis eram, claudíſque pedes.
Semper autem pauperibus pater ceu lenis eram,
Inveſtigavi cauſas, cùm inter homines rixa orta eſt,
Ut diſcernerem tam malum quàm bonum.
Maxillas confregi terribilis oppreſſoris,
Prædámque ei dulcem è mediis eripui dentibus.
Tum verò dixi proſperitate & tranquillitate fretus,
Intrepidus, quietus moriar in nido,
Domo in noſtra ad ſenectutis limen perveniam,
Dies meæ vitæ erunt arenis pares.
Radix autem mea pulchra diffundebatur circa fluenta,
Totâque nocte meum germen habuit floridum rorem.

Semper

20 Αἰεί μοι κλέος ἐσθλὸν ἐν ἀνθρώποισι τεθήλει·
Κυκλοτερὲς μέγα τόξον, ὅ μοι παλάμηφιν ἀρήρει,
Ἔμπεδον, ὡς νεότευκτον, ἀεὶ πέλεν, ἀλλ' ἐπαθυνα,
Ἀμφότερον, πίσυνός τε βίῳ, πίσυνός τε βίηφι.
21 Σύμπαντες μὲν ἐμοὶ ἀεικήκοον οὔας ἔκλιναν
Ἄνθρωποι, σιγῇ ποτιδέγμενοι, εἰσόκεν αὐτὸς
Φαίην, ἱέμενοί μευ ἀμύμονα μῆτιν ἀκοῦσαι.
22 Ὥς τ' εἶπον τά με θυμὸς ἐνὶ στήθεσσι κέλευεν,
Οἱ δ' ἄνεῳ ἐγένοντο, καὶ οὔ μέ τις ἀντίον ηὔδα,
(Αἰδὼς γάρ σφιν ἐπῆλθε) καὶ οὐ προσπτύξατο μύθῳ
Τοῖσιν δ' ἡμέτερος στάξεν λόγος ὥσπερ ἐέρση,
Καί μευ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.
23 Ὡς δ' ὅτε διψὰς ἀλωὴ ὀπωρινὸν ὄμβρον ἔμιμνε,
Γαῖά τε καρχαλέη χάνεν ὑετοῦ ὀψὲ ῥέοντι,
Ὡς οἵ γ' ἐστήκασι κεχηνότες, εἰσόκ' ἐπ' αὐτοὺς
Λαιμοῦ ἀπ' εὐκελάδοιο μελίφρονα γῆρυν ἔχευα.
24 Εἴ ποτ' ἐγὼ μείδησα, γέλως δ' ἐχάραξεν ὀπωπὴν,
Ἀλλ' οἵ γ' οὐ πείθοντο, πάρος νυ γὰρ οὔτι θάμιζον,
Δεινὸς ἐὼν καὶ σεμνὸς ἐν ἀνθρώποισιν ὁρᾶσθαι.
Ὄψε μοι οὐ σκιόωντο κατηφείῃ ἀλεγεινῇ,
Οὐδέ τ' ἐλεγχείῃ ἐπιπίλνατο, ἀλλὰ μάλ' αἴθρη
Πέπτατο ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.
25 Ὡς βασιλεὺς στρατιῆφι μέγ' ἔξοχος ἔπλετο πάντων,
Ἀρχὸς, (ὃ γάρ τ' ἄνδρεσσι μεταπρέπει ἀρχομένοισι)
Μυρομένων δέ τ' ἔθελγε νόον, καὶ θυμὸν ἔγειρεν·
Ὥς ἔμ' ἀείζηλον θῆκεν Θεὸς ἤματι κείνῳ,
Ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν,
Αἰὲν ἀειστεύοντα, μέγαν σημάντορα λαῶν.

ΚΕΦ. λ'.

1 ΤΟῖος ἔην τὸ πρόσθεν, ἅμ' αἰδοῖός τε φίλος τε,
Καὶ θεὸς ὣς πάντεσσι τετιμένος ἐν μερόπεσσιν.
Ὤ μοι ἐγὼ, νῦν αὖτε μετάτροπα πάντα γένοντο

Semper mihi gloria ſplendida inter homines floruit,
Orbicularis magnus arcus, qui meis manibus aptus-erat,
Firmus, quaſi recens-fabricatus, ſemper fuit, at *eum* tetendi,
Utrumque, fretúſque arcu fretúſque robore.
Omnes-omnino mihi attentam aurem inclinârunt
Homines, tacitè expectantes donec ipſe
Loquerer, cupientes meum inculpatum conſilium audire.
Cúmque dixiſſem quæ me animus in pectoribus juſſit,
Hi muti erant, & nemo mihi viciſſim reſpondit
(Pudor enim eos occupavit) nec compellavit dicto.
Iis verò noſter ſtillavit ſermo tanquam ros,
Et mea à lingua melle dulcior fluebat oratio.
Sicut autem quando ſitibundum arvum autumnalem imbrem expectat,
Terráque ſicca inhiat pluviæ ſerotinæ,
Sic hi ſteterunt hiantes, donec ſuper eos
Gutture à dulciſono vocem fudi mellifluam.
Siquando ego ſubriſi, riſúſque ſignavit faciem,
At ii non crediderunt, antea enim neutiquam ſolebam,
Gravis quippe fui & auſterus inter homines viſu.
Oculi mihi non obnubilati erant verecundiâ triſti,
Neque pudor appropinquavit *fronti*, ſed valde ſerenitas
Pandebatur abſque-nube, lucidúſque circumfulſit ſplendor.
Sicut rex *in* exercitu longè eximius eſt inter omnes,
Ductor (is enim homines excellit inter congregatos)
Lugentiúmque demulcet animum, & ſpiritum excitat:
Ità me conſpicuum fecit Deus die illo,
Eminentem inter multos & eximium heroas,
Semper præcellentem, magnum imperatorem populorum.

CAP. XXX.

TAlis eram olim, pariter venerandúſq; charúſque,
Et, Deus ceu, omnes honoratus inter homines.
Hei mihi, nunc viciſſim mutata omnia ſunt:

Nunc

Νῦν δὲ μευ ὁπλοτέροισι γέλως καὶ παίγνιόν εἰμι,
Τῶν καὶ ἐγὼ πατέρας θέσθαι μετ' ἐμοῖσι κύνεσσι
Τὸ πρὶν ἀνηναίμην καλλίτριχα μῆλα φυλάσσειν.
2 Οὐ γὰρ πώποτέ με κρατεροί περ ἐόντες ὄνησαν
Ἢ ἔπει, ἢ ἔργῳ, ἢ χείρεσιν, ἠὲ βίηφιν,
Αἰὼν δέ σφιν ὄλωλε περιπλομένων λυκαβάντων
Αὕτως, ἀκλειῶς, τείροντο δὲ γήραϊ λυγρῷ.
3 Οἱ πενίῃ λιμῷ τε φίλον τετιημένοι ἦτορ
Οἰοπόλοι πλάζοντο διὰ χθονὸς ἀτρυγέτοιο,
Στεῖβόν τε σκολιὰς κατ' ἐρημάδα πέζαν ἀταρπούς,
Ἥ τ' αἰεὶ κραναὴ, λυπρὴ δέ τ' ἐφαίνετο γαῖα.
Πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν.
Οἱ δ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχοντες
Πλάγχθεν, ἐπεί σφεας ἵκετ' ἄλη, καὶ πῆμα, καὶ ἄλγος.
4 Τίλλον δ' ἐν θάμνοις μαλάχην (λιμὸς γὰρ ἀνωγε
Σχέτλιος) ἐκ μέσσων ποίην τρυγόωντες ἀκανθῶν,
Ἀρκεύθοιό τε ῥίζαν, ἵνα σφιν ἔδεσμα γένοιτο.
5 Ἐκ μερόπων γενεῆς ἀσύφηλοι ὡς μετανάσται
Τῆλε μάλ' ἐξυφέλιχθεν, ἀποπλαγχθέντες ὁμίλου·
Τοῖσι δ' ἔπι κραυγὴ ἀνδρῶν γένετ', ὡς ἐπὶ λῃστῇ.
6 Κρύβδην δή τιτ' ἔναιον ἐν ἄγκεσι, καὶ ἐνὶ βήσσῃς,
Γαίης ἐν ῥωχμοῖσι, μυχαίτατος ᾗ πέλε κόλπος,
Ἐν σπέεσι γλαφυροῖσι, καὶ ἐν πέτρῃσι βαθείῃς.
7 Λόχμῃσ' ἐν πυκινῇσιν ὄνοι ὣς βρωμήσαντο
Λιμῷ τειρόμενοι, ὑπὸ δὲ κνίδῃσιν ἄγερθεν.
8 Ἀφραδέων πατέρων αὐτοὶ πανομοίϊα τέκνα,
Καί σφιν ἔσαν νώνυμνοι ἐν ἀνθρώποισι γονῆες,
Μᾶλλον ἀεικέλιοί τε καὶ ἐπιδανοὶ χθονὸς αὐτῆς,
Ἥ τ' αἰεὶ ὑπὸ ποσσὶ πιεζομένη στοναχίζει.
9 Νῦν δέ με κερτομέουσι πάρος περ τοῖον ἐόντα,
Καὶ τοῖοί περ ἐόντες, ὀνειδείοις ἐπέεσσιν·
Οἱ μὲν ἐφεψιόωνται, ἐγὼ δέ τ' ἐπόψιός εἰμι.
10 Αἰνῶς με στυγέουσιν, ἐμεῦ τ' ἄπο νόσφι λίασθεν,
Ἀλλ' (ὅπερ αἰσχρόν γ' ἐστὶ καὶ ἀνθρώποισι πυθέσθαι)
Οὐδέ τ' ἐμὴν αἰδοῦνται ἀποπτύοντες ὀπωπήν.
11 Οὕνεκ' ἐμοῖο Θεὸς νευρὴν ἀνέλυσε βίοιο,

Καὶ

Nunc autem iis, qui me juniores ſunt, deridiculo & ludibrio
Quorum ego patres ponere cum meis canibus (ſum,
Antehac recuſarem, ut bene-villoſas oves cuſtodirent.
Non enim unquam me, fortes licèt fuerint, juverunt
Aut dicto, aut facto, aut manibus, aut viribus,
Ætas verò iis periit volventibus annis
Incaſſum, ſine gloria, confecti autem erant ſenectâ triſti.
Qui paupertate inediâque charum afflicti cor
Solitarii vagabantur per terram infructuoſam,
Calcarúntque obliquas per deſertum ſolum vias,
Quà ſemper aſpera, ſterilíſque apparebat terra.
Peregrinatione autem non eſt pejus aliud mortalibus.
Illi verò gratiâ pernicioſi ventris malos dolores ferentes
Vagati ſunt, poſtquã iis contigerit error,& damnũ, & dolor.
Vellebant autem inter frutices malvam (fames enim ſua-
Improba) de mediis herbam colligentes ſpinis, (ſit
Juniperique radicem, ut iis edulium foret.
Ex hominum generatione viles tanquam extorres
Procul admodum exturbati ſunt, errare-coacti à cœtu:
In eos autem clamor virorum fiebat, velut in latronem.
Clanculum tum habitabant in vallibus & in ſaltibus,
Terræ in anfractibus, penitiſſimus quà erat ſinus,
In ſpeluncis cavis, & in rupibus profundis.
Sylvis in denſis ſicut aſini rudebant
Fame confecti, & ſub urticis congregati ſunt.
Inſipientium patrum ipſi conſimiles filii,
Et iis erant obſcuri inter homines parentes,
Viliorésque & contemptiores tellure ipsâ,
Quæ ſemper ſub pedibus preſſa gemit.
Nunc autem mihi convitiantur, priùs licèt talis fuerim,
Et tales licèt *ipſi* ſint, contumelioſis verbis;
Hi quidem dicteriis-*me*-inceſſunt, ego verò deſpicatui ſum.
Graviter me oderunt, & à me procul abalienati ſunt,
Verùm (quod turpe eſt etiam hominibus audire)
Neque meam erubeſcunt inſpuentes faciem.
Quoniam mei Deus nervum diſſolvit arcûs,

Et

Καί με λίνοις θανάτου, ἄτῃ τ' ὀδύνῃσι βαρείῃ,
Τοὔνεκ' ἀναιδείην ἐπιειμένοι, οἷά περ ἵπποι
Δέσματ' ἀποῤῥήξαντο, καὶ ἐκσείσαντο λέπαδνα.
12 Κοῦροι πρωθῆβαι ἐπὶ δεξιά μοι ἀνόρουσαν,
Παῖδες νηπίαχοι, οἳ ἔτι πνείουσι τιθήνης,
Ταρσά τέ μου ἔκρουσαν, ἵν' ἐν κονίῃσι πέσοιμι,
Καὶ ὀλοάς μοι ἔχωσαν ὁδοὺς, ὡς πήματι κύρσω.
13 Ἴχνιά μου σφήλαντες ἀπεσυφέλιξαν ἀταρποῦ,
Δηλήσαντο δ' ὁδοὺς, στῆναι δ' οὐκ ἔμπεδόν ἐστιν.
Οἶτον ἐμὸν σπέρχουσιν ἐπειγόμενοι κακότητος,
Καὶ τυτθοί περ ἐόντες, ἀρωγὸς δ' οὔ σφιν ὀπηδεῖ.
14 Πανσυδίῃ ὥρμησαν ἐμοὶ ἔπι θυέλλῃ λύσσῃ,
Ὡς ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι
Χειμάῤῥους, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας.
Ἀμφὶ μοὶ ὡς τρόφι κῦμα κυλινδόμενοι βεβάασιν
Ἤματι λευγαλέῳ, χαλεπὴ ὅτ' ἐπήλυθεν ὀϊζύς.
15 Δείματα πανταχόθεν μοι ἐπέχραον ἄλλο μετ' ἄλλο,
Καὶ ψυχὴν ἐδίωξε, τίναξε δέ μοι φίλον ἦτορ,
Ὡς ἄνεμος ζαὴς ἠΐων θημῶνα τίναξε
Καρφαλέων· ταχύποτμος ἐμεῦ μεταναΐσσεται ὄλβος
Ὡς νεφέλη, τὴν ῥεῖα διεσκέδασ' ἲς ἀνέμοιο.
16 Νῦν δέ μοι ἐκκέχυτο ψυχὴ ὑδάτεσσιν ὁμοίη,
Ἄτη με στυγερὴ καὶ νηλεὲς ἦμαρ ἔμαρψεν.
17 Ὀστέα μευ ὀδύνῃσι πεπαρμένα νυκτερινῇσιν
Ἀλγεῖ, νεῦρα σέσηπε, νόσου δ' οὐ γίνετ' ἐρωή.
18 Νοῦσος δὲ κρατερὴ καὶ σμῶδιξ αἱματόεσσα
Εἵματ' ἀεικίσσατο, χιτὼν δέ μοι ἀμφὶ μέλεσσι
Λύθρῳ ἅπας πεπάλακτο, καὶ αἵματι, καὶ κονίῃσι.
Πάντοσέ με σφίγξεν μᾶλλον νόσος, ἢ περ ἐσθής.
19 Ἐς πηλὸν μ' ἔῤῥιψεν Ὀλύμπιος, ὃς δ' ἐμιάνθην,
Αἰσχροῖσιν δὲ μέλεσσι μέλαιν' ἀμφίζανε τέφρη,
Σῶμα δέ μευ κεκόνιτο· τέφρη ὅλος εἰμί. κόνις τε.
20 Πρὸς σὲ, Ἄναξ, ἐβόησα. σὺ δ' οὐ βοόωντος ἀκούεις
Ἐς σὲ βλέπων ἕστηκα, σὺ δ' οὐκ ὄθει ἱσταμένοιο.
21 Δεινὸς ἐμοὶ γέγονας καὶ ἀμείλιχος, οὐδ' ἀγανόφρων·
Ἀντίβιον δ' ἄρ ἔμοιγε τεῶν κράτος ἔπλετο χειρῶν.

22 Λαίλαπ

Et me retibus mortis, damnóque illaqueavit gravi,
Ideo impudentiâ induti velut equi
Vincula diruperunt,& excuſſerunt lora.
Juvenes recèns-pubeſcentes ad dexteram me adorti ſunt,
Pueri parvuli,qui adhuc olent nutricem,
Pedésque meos agitârunt, ut in pulvere caderem, (ciderem.
Et perniciosas in me aggeſſerunt vias,ut in infortunium in-
Greſſus meos ſupplantantes deturbârunt ex ſemita,
Vaſtarúntque vias, ſtaréque non eſt integrum.
Calamitatem meam maturant feſtinantes ad malitiam
Parvuli quantumvis exiſtentes, adjutor autem iis non adeſt.
Totis viribus irruerunt in me impetuoſo furore,
Quemadmodum cùm inundans fluvius in campum decurrit
Torrens, qui velociter fluens diſſipat pontes.
Circa me ceu ingens fluctus convoluti venerunt
Die funeſto, ſæva cùm ingruit calamitas.
Terrores undique me invaſerunt,alius poſt alium,
Et animam perſecuti ſunt,quaſſarúntque mihi charum cor,
Sicut ventus vehemens palearum acervum conquaſſat
Aridarum : caduca mea tranſit proſperitas
Veluti nubes, quam facilè diſſipavit vis venti.
Nunc verò mihi effuſa eſt anima aquis ſimilis,
Damnum me infeſtum & crudelis dies prehendit.
Oſſa mea doloribus transfoſſa nocturnis
Mœrent, nervi putreſcunt, morbique non eſt relaxatio.
Morbus autem validus & vibex cruentus
Veſtes deturpârunt, tunica verò mea circa membra
Sanie tota inquinatur, & ſanguine,& pulvere.
Undique me conſtrinxit magis morbus quàm veſtis.
In lutum me præcipitavit Olympius,ego verò contamina-
Deformibus autem membris niger adhæſit cinis, (tus ſum,
Corpus verò meũ pulvere-fœdatur,cinis totus ſum, pulvisq;.
Ad te,Rex, clamavi, tu autem clamantem non audis;
Ad te reſpiciens ſteti, tu autem non curas ſtantem.
Terribilis mihi factus es & immitis, neque clemens;
Adverſarium autem mihi tuarum robur eſt manuum.

22 Λαίλαπι θεσπεσίῃ με ἀνήρπασας, ὕψι δ' ἀέρθην
Ἐμβεβαὼς ὀχέεσσι ταχυστροφάλιγγος ἀέλλης.
Γυῖα δέ μευ λῦσας, διά τ' ἔσχισας ἅψεα πάντα.
23 Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὥς με τάχ' ἐς θανάτου πανδήμιον οἶκον ὀχήσεις,
Πᾶσιν ὅπου ζωοῖσι πεπρωμένον ἐστὶ καθεύδειν.
Μοῖραν δ' οὔ τινά φημι πεφεύξεσθαι ἀνθρώπων.
24 Ἀλλὰ μὲν οὐδὲ Πατὴρ ἐπὶ τύμβῳ χεῖρας ὀρέξει,
Ὡς νέκυας θανάτοιο δυσηχέος ἐξαναλύσῃ,
Εἰ καί οἱ ἐν βιοτῆτι δύῃ ἀρημένοι αἰνῇ
Χερσὶν ὀρεκτῇσιν μεγάλ' εὐχετόωντο ἕκαστος.
25 Οὐκ ἀνδρὸς δυστήνου ὀδύρετό μοι φίλον ἦτορ
Ὃν πότμον γοόωντ', ὅτε μιν μόρος αἰνὸς ἵκανεν;
Οὐ πτωχοῦ ὀλοφυρόμενος πάθον ἄλγεα θυμῷ;
Οὐχ, ὅτε πού τιν' ὄπωπα κακὰ χροῒ εἵματ' ἔχοντα,
Τειρόμενον λιμῷ, οἶκτός μ' ἕλεν εἰσορόωντα;
26 Ἀλλ' ἔμπης ἀγανός περ ἐὼν καὶ μείλιχος αἰεὶ,
Ὄφρ' ἀγαθόν μοι ἔολπα παρέσσεσθαι, κακὸν ἦλθεν,
Ὄφρα φάος δ' ἠμὴν ποτιδέγμενος, ἦλθεν ὀμίχλη.
27 Σπλάγχνα δέ μευ ζέεν ἔνδον, ἅ τε φλέγεν ἐνδόμυχον πῦρ·
Οὐδέ τι ἦν κατάπαυμα μελαινάων ὀδυνάων·
Προφθαδίην δέ με λυγρὸν ὀϊζύος ἦμαρ ἵκανεν.
28 Αἰεὶ δ' ἐν στήθεσσι φίλον τετιημένος ἦτορ
Ἑρπύζων ἀλάλημαι ἀνὰ ζόφον ἠερόεντα,
Οὐδέ ποτ' εἰσορόω γλυκερὸν φάος ἠελίοιο·
Στὰς δ' ἀνδρῶν ἐν ὁμίλῳ ἀγάστονον ἤρυγον αὐδήν.
29 Οἷα κασίγνητος γενόμην ὀφίεσσιν, ἑταῖρος
Στρουθοκαμήλοισι, γλαύκεσσί τε νυκτερινῇσι.
30 Χρὼς δέ μοι ἀμφὶ μέλεσσι μελάντερος ἠΰτε πίσση,
Ὀστέα τε φλέγεται πυρόεντος καύματι νόσου.
31 Ἆσμα μευ ἐς πένθος τέτραπται, ἐς ἀδάκρια θρῆνον
Ἡδυμελὴς κιθάρη, φόρμιγγος δ' ἀντὶ λιγείης
Τέρπομ' αἰεὶ κλαυθμοῖο, γόοιό τε δακρυόεντος.

ΚΕΦ. λα'.

Procellâ ingenti me abripuiſti, ſurſum verò elatus ſum,
Inſidens currui verſatilis turbinis.
Membra verò mea ſolviſti, & diſcidiſti artus omnes.
Bene enim ego hoc novi mente & animo,
Quòd me ſtatim ad mortis communem domum vehes,
Omnibus ubi viventibus ſtatutum eſt dormire.
Fatum verò neminem arbitror fugiturum hominum.
At neque Pater in ſepulcrum manus extendet,
Ut defunctos morte triſti exolvat,
Quantumvis eum in vita ærumnâ oppreſſi graui
Manibus extenſis multùm precarentur ſinguli.
Nonne hominem miſerum lugebat mihi charum cor
Ejus caſum deflenti, cùm ad eum ſors gravis pervenit ?
Nonne pauperem commiſerans pertuli dolores animo ?
Nonne cùm alicubi quenquã vidi laceras corpore veſtes ha-
Afflictum fame, miſeratio me tenuit inuenientem? (bentem,
Veruntamen placidus licèt fuerim, & mitis ſemper,
Quando bonum mihi ſperavi adfuturum, malum venit;
Quando & lumen ſedebam expectans, venit caligo.
Viſcera autem mea fervent intus, eaq; urit inteſtinus ignis:
Neque ulla eſt intermiſſio nigrorum dolorum :
Prævenit autem me funeſtus calamitatis dies.
Semper autem in pectoribus charum afflictus cor
Repens erro per tenebras caliginoſas,
Neque unquam video dulce lumen ſolis;
Stans verò hominum in cœtu gemibundam edo vocem.
Veluti frater factus ſum ſerpentibus, ſocius
Struthiocamelis, bubonibúsque nocturnis.
Cutis autem mihi circa membra nigra *eſt* ut pix,
Oſſáque uruntur ignei æſtu morbi.
Canticum meum in luctum vertitur, in amaram lamenta-
Dulciſona cithara, lyra autem pro canora (tionem
Delector uſq; fletu luctúque lacrymabili.

ΚΕΦ. λα΄.

1 Συνθεσίην τεύχα μετ᾽ ὀφθαλμοῖσιν ἐμοῖσι
Μήποτ᾽ ἐρωτομανῆσαι· ἐγὼ δ᾽ ἐ παρθενοπίπης·
Τίπτε μοι ἐν ἑλικῶπις ἐνὶ φρεσὶ μέμβλετο κούρη;
2 Τίς γὰρ ἀπ᾽ ἐρανόθεν μόρος; ἢ τίς θέσφατος αἶσα;
Ἠὲ τίς ἵκετο μοῖρα Θεοῦ μεγάλοιο ἕκητι;
Ἠὲ τίς ἔπλετο κλῆρος ἀπ᾽ αἰθέρος ὑψόθεν ἐλθών;
3 Οὐκ ἐπ᾽ ἀτασθαλίης ὑποφήτορας αἰπὺς ὄλεθρος;
Οὐ πότμος ἀργαλέος ἐπ᾽ ἐργατίναις κακότητος;
4 Οὐκ ἄρ᾽ ἐμὰς ἄθρησεν ὁδὲς Θεός; ἐκ ἄρ᾽ ἐμεῖο
Ἴχνια πάντα νόησε, καὶ ὡ πεμπάσατο θυμῷ;
5 Εἰ σφαλερὴν ἔστειβον ὁδὸν ματίης ἀλεγεινῆς,
Ἐς δὲ κακὴν ἀπάτην ταχινοῖς ἤιξα πόδεσσιν·
6 Ἔυ με ταλαντίζοι τις ἐνὶ πλάστιγγι δικαίῃ,
Τῷ καὶ ἀκηρασίην Θεὸς εἴσεται, ἥ μοι ὀπηδεῖ.
7 Εἰ δ᾽ ἐμὸν ἴχνος ἔκλινα παρὲξ ὁδοῦ ἰθυπόροιο,
Εἰ δὲ μετ᾽ ὀφθαλμοῖο βολὰς ἐμὸν ἦτορ ἔβαινεν,
Εἴ τις ἐμοὶ ἔνι μῶμος ἔην, ἐμίηνα δὲ χεῖρας·
8 Δὴ τότ᾽ ἐγὼ σπείροιμι, καὶ ἄλλος καρπὸν ἔδοιτο,
Ῥιζόθεν ἐξαπόλοιτο καὶ ἔκγονος, ὅν κε φυτεύσω.
9 Εἴποτε θελξινόου κάλλος μ᾽ ἀπάτησε γυναικὸς,
Εἴποτ᾽ ἐρωτοτόκοισιν ἀπεπλάγχθην φρένα μύθοις,
Εἰ δολερὸν λόχον εἷσα πύλης ἔπι γείτονος ἀνδρὸς·
10 Τόφρα δ᾽ ἐμὴ ἄλοχος, λέχος αἰσχύνεσα καὶ εὐνήν,
Ἄλλῳ ἀλετρεύοι, λάθρη φιλότητι μιγεῖσα·
Ἄλλοι τ᾽ ἀγκὰς ἕλοιεν ἐμὴν μάρψαντες ἄκοιτιν.
11 Ἦ γὰρ σχέτλια ἔργα τάδ᾽ ἔσσεται, ὅσσα τε πολλὰ
Τίννυνθ᾽, ὡς ἐπέοικε, δικασπόλοι, οἵ τε θέμιστας
Πρὸς Θεοῦ εἰρύαται· ἐπεὶ ἐκέτ᾽ ἀνεκτὰ πέλονται.
12 Ὡς δ᾽ ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ,
Πάντη τ᾽ εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
Πρόρριζοι πίπτεσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
Ὡς νύ κε τοῦτ᾽ ἀλίτημα πάλαι μοι χρήματ᾽ ἔκειρε,
Πρόρριζόν τ᾽ ἐμὸν ὄλβον ἐπισμυγεροῖς ἀμάθυνεν.
13 Εἴ γε δίκην ἀθέτησα, καὶ ἐκ ὀθόμην ποτὲ μομφῆς

CAP. XXXI.

PActum feci cum oculis meis (inſpector:
Nunquam amore-inſanire: ego .a. non *ſum* virginum-
Cur mihi ergò formoſa in animo curæ-eſſet puella?
Quæ .n. cœlitus ſors? aut quæ divinitus-obtingens portio?
Aut quod advenit fatum Dei magni voluntate?
Aut quæ eſt hæreditas ab æthere deſuper veniens?
Nonne ſuper improbitatis miniſtros grave exitium?
Nonne interitus inopinatus ſuper operatores mali?
Nonne meas aſpexit vias Deus? nonne meos
Greſſus omnes animadvertit, & ſuo dinumeravit animo?
Si lubricam calcavi viam vanitatis miſerandæ,
Et ad malam fraudem velocibus rui pedibus:
Bene me ponderet quis in lance juſta,
Unde & integritatem Deus ſciet, quæ mihi adeſt.
Quòd ſi greſſum meum diverti extra viam rectam,
Sique poſt oculorum jactus meum cor ivit,
Siqua in me macula fuit, polluitque manus:
Tum ego ſeram, & alius fructum edat,
Radicitus diſpereat & nepos, quem procreavero.
Si unquam flexanimæ forma me decepit mulieris,
Si unquam amatoriis ſeductus ſum mente ſermonibus,
Si doloſas inſidias poſui ad fores vicini viri:
Tum mea uxor lectum dedecorans & cubile
Alteri molat, clàm amore mixta;
Aliíque ulnis teneant meam complexi conjugem.
Certè enim improba facinora hæc erunt, qualia multa
Puniunt, utì fas eſt, judices, quíque leges
A Deo tuentur: quippe haud-ampliùs toleranda ſunt. (vam,
Quemadmodū .a. cùm ignis ſplendidus in denſā incidit ſyl-
Quem & quoquo-verſùs convolvens ventus fert, frutices autē
Radicitus cadunt, impulſi ignis impetu:
Sic & hæc iniquitas dudum mihi divitias vaſtâſſet,
Radicitúsq; meas opes miſerandùm-in-modū conſumpſiſſet.
Si jus contempſi, & neglexi aliquando querelam

Δμωῦς τε δμωῆς θ', ὅτε μοι ἔριδα προφέροντο·
14 Ἀλλὰ τί ποιήσω, ὅτ' Ὄλυμπος ἄμμιν ἀναστῇ,
Κείνῃ θ' ὃς μάλα πᾶσι θεμιστοπόλοισιν ἀνάσσει,
Ὃς πασέων τ' ἔφορος καὶ ἐπίσκοπος ἀμπλακιάων;
Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
15 Οὐχ ὅ με ποιήσας ἐνὶ γαστέρι, τεῦξε καὶ αὐτόν;
Οὐκ ἶσον δέμας ἀμφοτέροις ἴσος ἔπλασε τέκτων
Μητρὸς ἐκ γαίης ὁμογάστριον, ἔκ τε κονίης;
16 Εἰ δέ ποτ' ἀκράαντον ἔλω πτωχοῖσιν ἐέλδωρ,
Οὔτι διδόντος ἐμεῦ, ἀγανὸς δέ μοι οἶκτος ὄλωλεν·
Εἰ χήρῃ ἀλεγεινῇ, ἐφυβρίζοντος ἐμεῖο,
Ἐφθίατ' ὀφθαλμοί τε, δεδάκρυνταί τε παρειαί·
17 Εἰ καὶ μονοφάγησα, καὶ ἀξείνοιο τραπέζης
Οἶος σῖτον ἔδωδα, καὶ ὀρφανὸν οὐκ ἐκάλεσσα
Δαῖτα πρὸς ἡμετέρην, ἵνα μοι ὁμόδορπος εἴη·
18 (Κηδεμόνος δ' ἀμφοῖν, χήρης τε καὶ ὀρφανικοῖο,
Τὸν μὲν ἐγὼ ἀπὸ παιδὸς ἐύτρεφον ἠδ' ἀτίταλλον,
Ἀμφαγαπαζόμενος ὡσεί τ' ἐμὸν υἱὸν ἐόντα,
Τῇ δ' ἐπίκουρος ἔην ἐξ οὗ ἐμὲ γείνατο μήτηρ)
19 Εἰ πτωχὸν ψύχει ὀλιγοδρανέοντα νόησα
Ἤματι τῷ ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
Δευόμενον χλαίνης καὶ ἀλεξανέμοιο χιτῶνος,
Οὐδέ πω οἱ ῥάκος ἦν ἀνέμου σκέπας, οὐδ' ἀλεωρὴ
Χείματος ἀργαλέου· ὁ δέ μοι τρομέεσκε παρεστὼς
Βαμβαίνων, ἄραβος δὲ διὰ στόμα γίνετ' ὀδόντων,
Χλωρὸς ὑπαὶ ῥίγευς, τὸ δὲ καὶ οἴκτιστον ἰδέσθαι·
Εἰ τοιοῦτον ἴδον ποτὲ χειμοθνῆτα γενέσθαι·
20 Μᾶλλον δ' οὐ μιν ἔθαλπον [illegible] ὑπὸ κώεσι μήλων,
Ὃς δ' ἐκάθευδεν ἐμῆς κεκαλυμμένος οἰὸς ἀώτῳ,
Ἰξὺς δ' οἱ θερμάνθη, ὁ δ' εὔχετο χεῖρας ἀνασχὼν,
Χαῖρε, ἄναξ, ὅτι σοι πρόφρων ζωάγρι' ὀφέλλω·
21 Εἰ παῖδ' ὀρφανικὸν κρατερῇ ποτε χειρὶ πιέζειν
Θαρσήσας, ὅτε μοι φίλος ἦν δικασπόλος ἀνὴρ
Ἥμενος εἰνὶ πύλῃσιν, ὁ δὲ σχεδὸν ἦλθεν ἀρωγὸς,
Ὅς κε τάχ' εἵνεκ' ἐμεῦ σκολιὰς κρίνειε θέμιστας·
22 Τόφρα μοι ἀμφ' ὤμοιο διασχίζοιατο τεῦχα

Πάντα,

Famuliſque, famulæque, cùm mihi litem intentârunt:
At quid *tum* faciam, cùm Olympius nobis ſurgat, (perat,
Judicétq; *inter nos* qui omnino omnibus juris-conſultis im-
Qui omniúmque inſpector & obſervator peccatorum?
Quid primum, quid proximum, quid ultimum dicam?
Nonne qui me fecit in ventre, fecit & illum?
Nonne par corpus ambobus idem formavit artifex
Matre de terra couterinum, déque pulvere?
Quòd ſi unquam irritum erat pauperibus deſiderium,
Nihil dante me, mitis autem mihi miſericordia periit;
Si viduæ luctuoſæ, injurioſè-tractante me,
Corrupti ſunt oculi, lacrymiſque-oppletæ genæ:
Si & ſolus-comedi, & inhoſpitalis menſæ
Solitarius cibum edi, & orphanum non vocavi
Epulas ad noſtras, ut mihi conviva eſſet:
(Curam autem gerens utriuſque, viduæque & orphani,
Hunc quidem ego à puero bene-nutrivi & educavi,
Valde-diligens tanquam meum filium exiſtentem;
Illi autem cuſtos eram, ex quo me genuit mater)
Si pauperem frigore languentem ſenſi
Die illo, quando nix conſpergit arva,
Carentem pallio & ventos-arcente tunicâ, (fugium
Nec uſpiam ei panniculus fuit à vento tegumentum, neq; re-
A frigore duro: is autem mihi tremuit aſtans
Crepitans-ore, ſtridor autem per os fiebat dentium,
Pallidus præ frigore, quod & maximè miſerabile viſu:
Si talem vidi unquam hyberno-frigore-perire:
Potiùs verò non eum fovi meatum ſub velleribus ovium,
Is autem dormiit meæ tectus ovis floridâ-lanâ, (tollens,
Lumbi .a. ejus calefacti ſunt; is autem precabatur manus at-
Salve, rex, quoniam tibi primo vitæ-conſervatæ-præmia de-
Si puerum orphanum validâ unquam manu oppreſſi, (beot
Confiſus, quòd mihi amicus erat judex vir
Sedens in porta, is autem propè venit adjutor,
Qui utique ſtatim mei gratiâ perverſa tulerit judicia:
Tum mihi circa humerum diffindantur nervi

Πάντα, καὶ ἐκ κοτύλης πέσοι ἐν κονίῃσι βραχίων
Πρυμνὸς ἀπ᾽ ὀστεόφιν, κληΐδων ἀγνυμένων.
23 Ἀργαλέος γὰρ ἐμοὶ καὶ φρικτὸς ἐείσατο πότμος,
Ὃν Θεὸς ὑβρισταῖσιν ὑπερφιάλοισιν ἐφῆκε,
Τλῆναι δ᾽ οὐκ ἔνι μοι, ἐπειὴ πανυπέρτατός ἐστιν.
24 Εἴ ποτ᾽ ἔην πλούτῳ πίσυνος καὶ χρήμασι πολλοῖς,
Εἰ χρυσῷ τιμῆντι καὶ ὀβρύζῳ ἐπεποίθεα,
Φῶν δέ οἱ, Ἐλπωρὴ σύ μοι εἶς, καὶ ἔρεισμα, καὶ ἀλκαρ·
25 Εἰ ἐχάρην, καὶ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
Οὕνεκ᾽ ἔην ἀφνειὸς, ἅλις δέ μοι ὄλβος ὀπήδει·
26 Εἰ φάος ἠελίοιο μέγα στίλβοντος ὄπωπα,
Ἢ αἰγληέσσης κυκλοδρόμου ὄμμα σελήνης·
27 Καί με κρυπταδίοισι παρὲκ νόον ἤγαγε δαίμων,
Χεῖρα δέ μοι στόμ᾽ ἔκυσε, θεὸν δ᾽ ὥς ἀστέρ᾽ ἔπασα·
28 Σχέτλια καὶ τάδε ἔργα, καὶ οὐκέτ᾽ ἀνεκτὰ δικαστῇ,
Οὕτω γάρ κεν ἀρνησαίμην Θεὸν ὑψιμέδοντα.
29 Εἰ δὴ μοι ἦτορ ἰάνθη ἐπ᾽ ἀνέρος ὀλλυμένοιο,
Ὅς με μάλ᾽ ἤχθηρεν, καὶ ὀϊζύσαντος ἐπήρθην·
(Οὐχ ὁσίη γὰρ δειλῷ ἐπὶ βροτῷ εὐχετάασθαι.
30 Οὐδέ θ᾽ ἁμαρτοεπὲς στόμα μευ θυμοφθόρα κείνῳ
Πολλὰ κατηρᾶτο, στυγερὰς δ᾽ ἐπικέκλετ᾽ Ἐρινῦς)
31 Εἰ δ᾽ οὐχ ἡμέτεροί περ ἑταῖροι ὧς ἀγόρευον,
Αἴθ᾽ ἄρ᾽ ἐμάρψαντες σάρκας καὶ πίονα δημὸν
Ὠμὸν βεβρώθοιμεν, ὅτ᾽ οὐ κόρος ἄμμιν ὀπηδεῖ.
32 Οὐκ ἐν ἀγυιῇσι ξεῖνος ἴδον αἰθριοκοιτεῖν,
Ἀλλ᾽ ἀνέῳγα θύρας, ἵν᾽ ὁδοιπόρον ἄνδρα δεχοίμην.
33 Εἰ δέ θ᾽ ὑπερβασίας μευ ἔσκεπον, ὥσπερ Ἀδάμος,
Ἐνδομύχους, κακότητα δ᾽ ἐνὶ στήθεσφιν ἔκευσα.
34 Ἦ ῥά με παμπληθὴς λαῶν ἐτάραξεν ὅμιλος;
Ἦ ῥά νυ φῦλα βροτῶν μοι ὀνείδεσι θυμὸν ἄτυξεν,
Ὥστ᾽ ἄνεῳ μ᾽ ἧσθαι ἐνὶ δώμασιν ἀσχαλόωντα,
Οὐδ᾽ ἕρποντα θύραζε φόβῳ βεβολημένον αἰνῷ;
35 Ὡς ὄφελέν τις ἐμοὶ ἀειήκοον οὖας ἐρείδειν,
Εἶθ᾽ ἀπαμειβόμενός με Θεὸς κατεναντίον εἴποι,
Καί κε τὸ βουλοίμην, τόδε μευ πάλαι ἦεν ἐέλδωρ.
Ὡς ὄφελ᾽ ἀντίδικος γράψαι νημερτέα βίβλον.

Omnes, & ex oſſium-ſinu cadat in pulveres brachium
Extremum ab oſſe, compagibus ruptis.
Grave enim mihi & horrendum videbatur exitium
Quod Deus oppreſſoribus ſuperbis intulit,
Tolerare autem non potui, ſiquidem omnium-ſupremus eſt.
Si unquam fui divitiis fretus & opibus multis,
Si auro pretioſo & obryzo confiſus ſum,
Dixique illi, Spes tu mihi es, & fulcrum, & præſidium:
Si lætatus ſum, & animus in pectoribus gaviſus eſt,
Propterea-quòd eram dives, affatimq; mihi opes ſuppetebant:
Si lumen ſolis valde fulgentis aſpexi,
Aut ſplendidæ noctivagum oculum lunæ;
Et mihi clanculum animum ſeduxit dæmon, (honoravi:
Manû verò meam os deoſculatum eſt, & velut deum aſtrum
Nefaria & hæc facinora, & non-ampliùs toleranda judici;
Sic enim abnegâſſem Deum altipotentem.
Si autem mihi cor lætatum eſt de homine pereunte,
Qui me valde odit, & contra eum in-ærumnis-verſantem e-
(Non enim fas *eſt* miſero homini inſultare. (latus ſum:
Nec futile os meum exitialia illi
Multa imprecabatur, odioſáſque invocabat Diras)
Si non noſtri vel domeſtici ſic dixerunt,
Utinam eum corripientes carnes & pinguem adipem
Crudum devoremus, quoniam ſatietas nobis non adeſt.
Non in plateis peregrinos vidi ſub-dio-cubantes;
Sed aperui ianuas, ut itinerantem virum exciperem.
Si autem transgreſſiones meas velavi, veluti Adamus,
Intus-latentes, malitiámque in pectore occultavi.
Nunquid me numeroſus populorum conſternavit cœtus?
Nunquid nationes hominum mihi opprobriis animum per-
Adeò ut tacitus ſederem domi mœrens, (celluerunt,
Nec prorepens foris, timore percitus gravi?
Utinam quis mihi attentam aurem inclinaret,
Utinam reſpondens mihi Deus ex-adverſo diceret;
Hoc certè velim, hoc meum dudum eſt votum.
Utinam adverſarius ſcriberet veracem librum.

Illum

36 Τὴν δὴ καταλοφάδια φέρων ἂν ἐπήρατον ἄχθος
Βαίην, ἢ στεφανηδὸν ἐπὶ κροτάφοισι τιθείην.
37 Πάντα δ' εὖ κρίνας ἐμεῦ ἴχνια πεμπασσαίμην,
Τῷδε καὶ ἆσσον ἰὼν ὡς ὄρχαμος ἀντιβολοίην.
38 Ὕβρεως εἰ ἐπιμέμφετ' ἐμεῦ ἐρίβωλος ἄρουρα,
Ἢ, πόωντο δ' ἄνακτα πολύστονοι αὔλακες αἰνῆς,
Οἷά περ ἀλλότριον βίῃ ἁρπάξαντα πέλεθρον·
39 Εἰ φάγον ἀπριάτης μελιηδέα καρπὸν ἀρούρης,
Ὥσπερ ἄκαπνα θύων οὐδ' ἄξιον ὦνον ἔδωκα,
Μηταίμψως σφιν ὄλεθρον, ὅσοι πάρος ἐκτήσαντο·
40 Γαῖα φύοι τριβόλους, καὶ οὐ ζωαρκέα πυρὸν,
Ἀντὶ δὲ σίτοιο θρεψιμβρότου αἶρα γένοιτο.
Ὣς ἄρα φωνήσας ἐπέων ἀπεπαύσατ' Ἰώβος.

ΚΕΦ. λβ'.

1 ΟΙ δ' ἄρα τρεῖς σύμπαντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπε,
Οὕνεχ' ἑοῖσι δίκαιος ἐν ὀφθαλμοῖσι πέφαντο.
2 Βουζαῖος δ' Ἐλιοῦ Βαραχιῆλου υἱὸς ἀμύμων,
Ῥαμιάδης γενεῆφιν, ἐνὶ φρεσὶ χώσατο λίην,
Ἦ ῥα μάλιστ' ἐπέων κεχολωμένος, ὧν φάτ' Ἰώβος·
Εὔχετο γὰρ καθαρὸς καὶ ἀναίτιος ἔμμεναι ἄντην,
Οἷα δικαιότερός περ ὀϊόμενος Θεοῦ εἶναι.
3 Τρισσοῖ δ' ὁμῶς ἑτάροισιν ἐπιζαφελῶς χαλέπαινεν,
Ὡς ἄνεῳ ἔστησαν, ἀτὰρ κατέκριναν Ἰώβον,
Οὐδέ τι μὴν νίκησαν ἐναντίβιοι ἐρίσαντες.
4 Ἧστο δὲ δὴν ἀκέων ποτιδέγμενος εἰσόκ' Ἰώβος
Σιγήσῃ, καὶ ἑταῖροι· ὅτι προγενέστεροι ἦσαν.
5 Ὃς δ' ἐπεὶ οὖν ἐσίδησ' ἅμα τρεῖς ἀκέοντας ἑταίρους,
Οὐ γὰρ ἔχον τί λέγοιντο, καὶ οὔτις ἀμείβετ' Ἰώβον,
Ἀσπερχὲς μενέαινε, χόλος δέ μιν ἄγριος ᾕρει.
6 Καὶ τότε δὴ θάρσησεν, ἀμειβόμενός τ' ἔπος ηὔδα,
Κλῦτε φίλοι, καὶ μή τι κότῳ ἀγάσησθε ἑταῖρος,

Οὕνεκ

Illum autem ſuper-cervice gerens gratum onus
Incederem, aut in-modum-coronæ temporibus imponerem.
Omnes autem bene-diſcernens meos greſſus recenſerem,
Et etiam propiùs accedens quaſi princeps occurrerem.
Injuriæ ſi *me* incuſabat meus ferax ager,
Criminabantúrque dominum queruli ſulci terræ,
Utpote alienum vi rapientem jugerum:
Si edi inempti dulcem fructum agri,
Velut ſine-fumo ſacrificans, neque dignum pretium dedi,
Machinatus iis interitum, quotquot antea poſſederunt:
Terra ferat tribulos, & non ſalubre triticum,
Próque frumento viros-nutriente lolium naſcatur.
Sic utique fatus à verbis deſtitit Jobus.

CAP. XXXII.

Hi autem tres ad unum-omnes muti erant ſilentio,
Sermonem mirati; admodum enim ſtrenuè prolocutus
Eó-quòd ſuis juſtus in oculis apparuit. (fuerat,
Buzæus verò Elius Baracheli filius inſignis
Ramiades genere, in animo ſuccenſuit valde,
Sanè maximè ob verba iratus, quæ dixerat Jobus:
Gloriabatur enim ſe purum & innocentem eſſe apertè,
Quaſi juſtiorem ſe exiſtimans vel Deo eſſe.
Tribus verò pariter ſociis vehementer indignatus eſt,
Quòd taciti ſteterunt, veruntamen condemnârant Jobum,
Nec eum vicerant ex-adverſo contendentes.
Sederat autem diu ſilens, expectans donec Jobus
Tacuerit, & amici; quoniam grandiores-natu *eo* erant.
Qui poſtquam ſenſit ſimul tres tacentes ſocios,
Non.n. habebant quod dicerent,& nemo reſpondebat Jobo,
Acriter incaluit, ira autem eum gravis tenebat.
Tum verò cepit animum, reſpondénſq; ſermonem dixit,
Attendite amici, et nihil irâ reprehendatis unuſquiſque,

Quoniam

Οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν,
Ὁπλότερος γενεῇ μὲν ἐγὼ, ὑμεῖς δὲ γέροντες·
Τῷ αἰνῶς δείδοικα, καὶ οὐ τόλμησ' ἀγορεύειν·
Αἰδὼς γὰρ νέον ἄνδρα γεραιτέρῳ ἄντιον εἰπεῖν.
7 Ἦ ῥ' ἐφάμην, Πολιοκρόταφοι πεπνυμένοι εἰσί.
Πουλυέτεις φράζοιντο, καὶ ἤματα πολλὰ διδάσκοι,
Ὅστις ἄρα πρότερος γεγόνει, ἔγε πλείονα ᾔδη.
8 Ψυχὴ δ' ἐν βροτῷ ἐστι, καὶ ἔνθεος ἐν φρεσὶ δαίμων,
Θέσπις ἐπιπνοίη, νόον ἐν στήθεσσι διδοῦσα.
9 Οὐκ αἰεί γε πολυχρόνιοι πολυΐδριες ἄνδρες·
Πρεσβύτερος γενεῆφι τάχ' ἂν φρεσὶ νήπιος εἴη.
10 Τοὔνεκ' ἔφην, Καὶ ἐμεῦ νῦν κέκλυτε κευστῆρι τῷ,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
Ἦ γὰρ ἐγὼ καὶ ἐμὸν δείξω νόον, οὐδ' ἐπικεύσω.
11 Νωλεμέως ὑμέων μύθους ποτιδέγμενος ἦμην,
Ὑμετέροισι λόγοις ἀεικήκοον οὖας ἔκλινα,
Ὡς σπουδῇ δίζεσθε καὶ ἐν φρεσὶ μητιάασθε
Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὕστατον καταλέξαι·
12 Ὑμέων δὲ ξυνιέμεναι. καὶ οὔτις ἐν ὔμμιν ἐτύχθη,
Ὅς τ' ἀπέλεγξεν Ἴωβον, ἑοῖς τ' ἀνετρέψατο μύθους.
13 Οὐκ ἔστ', οὐδ' ἐπέοιχ' ὑμέας τάδε μυθήσασθαι,
Ἡμεῖς μὲν σάφα ἴδμεν ὅπως τάδε ἔργα γένηται,
Ἄλλοις ἰδρείῃ οὐχ εὑρετὸς, ἄμμι δὲ μούνοις.
Κεῖνος γάρ τε Θεοῦ πληγῇ καὶ χειρὶ δαμασθεὶς
Ἥσσων, οὐδέ τι μιν δειλὸς βροτὸς ἐσφάλιξεν.
14 Οὐδὲ γὰρ οὐδ' ἐμέθεν κατεναντίον εἶπεν Ἴωβος,
Οὐδέ τι μιν μύθοισιν ἀμείψομαι ὑμετέροισιν,
Ἀλλ' ἐρέω, ὅ, τ' ἔμοιγε δοάσσατο κέρδιον εἶναι.
15 Δὴν δ' ἄνεῳ ἑστᾶσι τεθνηπότες, ἢ μάλ' ἕκαστον
Εἷλε τάφος, σιγή τε τάφου κρύοεντος ἑταίρη.
16 Αὐτὰρ ἐπεὶ μίμνεσκον, ἰδ' οὔτις ἀμείβετ' Ἴωβον
Ἀντιβίοις ἐπέεσσι, καὶ οὐ προσπτύξατο μύθῳ·
17 Ἦ ῥ' ἐφάμην, Καὶ ἐγὼ ἀπαμείψομαι, ἣ θέμις ἐστίν·
Οὐκέτι μὰν βουλὴν ἐπικεύσω φωλάδι σιγῇ,
Ἀλλὰ μάλ' ἐξερέω, ὥς μοι δοκεῖ εἶναι ἄρειστα.
18 Μύθων ἔμπλεός εἰμι, φέρω δ' ἐγκύμονα θυμὸν,
Ὠδίνω

Quoniam natu minimus ſum inter vos.
Junior quidem natu ego, vos verò ſenes;
Quamobrem graviter metui, & non auſus ſum loqui:
Pudori enim *eſt* juveni viro ſeniori ex-adverſo dicere.
Certè dixi, Cani cati ſunt.
Annoſi loquantur, & dies multi doceant;
Qui utique major natu eſt, is plura novit. (nius,
Anima autem in homine eſt, & entheus in præcordiis ge-
Divinus afflatus, mentem in pectoribus dans.
Non ſemper longævi multiſcii *ſunt* viri,
Grandior ætate fortean mente infans fuerit.
Ideo dixi, Etiam me nunc audite juniorem licèt,
Ut dicam quæ me animus in pectoribus jubet;
Certè enim ego etiam meam oſtendam ſententiam,neq; cela-
Indeſinenter veſtros ſermones expectans ſedebam, (bo.
Veſtris dictis attentam aurem admovi,
Dum diligenter quærebatis, & in mente conſultabatis
Quid primum, quid deinde, quid poſtremum dicere:
Vobis autem attendi, & nemo inter vos fuit,
Qui redarguit Jobum, ejúsque refutavit dicta.
Non licet, neque decet vos hæc fari,
Nos certò ſcimus quomodo hæc opera ſe-habeant,
Ab aliis ſcientia nequit inveniri, à nobis autem ſolis.
Ille enim Dei plagâ & manu domitus
Cecidit, nequaquam illum miſer mortalis dejecit.
Neque enim adverſùs me locutus eſt Jobus,
Neque ei ſermonibus reſpondebo veſtris,
Sed dicam, quod mihi viſum eſt ſatius eſſe.
Diu autem taciti ſteterunt attoniti,ſanè admodum unum-
Cepit ſtupor, ſilentiúmque ſtuporis frigidi comes. (quemq;
At poſtquam expectavi, & nemo reſpondebat Jobo
Contrariis verbis, nec compellavit *eum* dicto.
Sanè dixi, etiam ego reſpondebo, quatenus fas eſt;
Non-ampliùs meum conſilium abſcondam alto ſilentio,
At omnino edicam, prout mihi videtur eſſe optimum.
Sermonibus plenus ſum, fero autem gravidum animum,
Parturio

Ὠδίνω μεμαὼς ἔπεα προφέρειν ἠδὲ τεκέσθαι.
19 Εὖτ᾽ ἀσκοὶ σφεκγόωσι βεβυσμένοι ἡδέος οἴνου,
Ὃς δ᾽ ἔνδον παφλάζει ἐεργμένος ἄμματι λυγρῷ,
Στεινόμενος δ᾽ ἀφρίζει, ἐελδόμενός τε ὁδοῖο,
Ὕψι δ᾽ ἀναβλύζων θορέει, τάχα δ᾽ ἔρραγεν αὐτοῖ
Βενθοσύνῃ, ὁ δέ τ᾽ ὦκα κατειβόμενος κελαρύζει·
Ὥς τέ μοι οἰδάνεται κραδίη φρεσὶν ὁρμαίνοντι,
Ζεῖ νόος ἐν στήθεσσι, πιεσένεται δέ τε, χειλέων
Πῶμα διαῤῥῆξαι μεμαώς, καὶ ἕρκος ὀδόντων.
20 Τοὔνεκα ἐξερέω, ἵν᾽ ἀναπνεύσω ὀλίγον περ,
Νημερτὲς στόμ᾽ ἀνοίξω, ἀπηλεγέως τ᾽ ἀγορεύσω.
21 Οὐ νύ κεν ἁζοίμην ἀνδρῶν χαρίεντα πρόσωπα,
Οὐδέ τινι ψεύδεσσι χαριζοίμην μαλακοῖσιν·
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ᾽ ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει.
22 Εἰ γὰρ πολυπλανέων ἐδάην μειλίγματα μύθων,
Αἱμυλίοισι λόγοις φρένας ἀμφὶ καὶ ἔατα θέλγων,
Τῷ, ὅς πρίν μοι ἔδωκε, τάχ᾽ ἄν καὶ θυμὸν ἀπηύρα·
Οὐ γὰρ ἐπὶ ψεύδεσσι πατὴρ Θεὸς ἥδετ᾽ ἀρηγός.

ΚΕΦ. λγ᾽.

1 ΚΕκλυθι γοῦν μευ, Ἰώβ, καὶ ἀμὸν μῦθον ἄκουε,
Ὅ, ττι κε νῦν εἴποιμι τεῷ ἐγκάτθεο θυμῷ.
2 Μάστακος ὠΐγνυντο πύλαι, ἐκ δ᾽ ἔσσυτο φωνή,
Γλῶσσά μευ ἀργαλέης ῥῆξε σφρηγῖδα σιωπῆς.
3 Φθέγξομαι ἰθυντὴν κραδίης σημάντορα μῦθον,
Χείλεά μευ πινυτὴν μάλ᾽ ἀριφραδέως καταλέξει.
4 Καὶ γὰρ ἐγὼ βροτός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί·
Τῷ τε σὺ μὴ τάρβει, θνητὸς δέ τ᾽ ἔγωγε τέτυγμαι,
Πνεύματος ἀθανάτου ἔργον, θεόπλαστον ἄγαλμα,
Οἷος καὶ σὺ πέλεις, ζωὴν δέ τε ἄσθμα Θεοῖο
Στάξε μοι ἐν ῥίνεσσι, καὶ ἐμφύσησεν ἀϋτμήν.
5 Εἰπέ μοι, εἰ δύνασαι, καί τοι φίλον ἔπλετο θυμῷ,
Ὄρσο,

Parturio geſtiens verba in-lucem edere.
Sicut utres turgeſcunt repleti ſuavi vino,
Id autem intus æſtuat cohibitum vinculo ſævo,
Arctatum autem ſpumat, cupiens alicubi viam,
Surſum verò ebulliens ruit, mox autem rupti ſunt ipſi
Præ plenitudine, id autem celeriter defluens immurmurat:
Sic mihi tumeſcit cor in animo cogitanti,
Fervet animus in pectore, diſtenditúrque, labiorum
Operculum perfringere cupiens, & ſeptum dentium.
Idcirco eloquar, ut reſpirem vel pauxillùm,
Verax os aperiam, audactérque dicam.
Non reverear hominum gratioſos vultus,
Nec cuiquam mendaciis gratificer blandis:
Inimicus enim mihi ille æquè-ac inferni portæ,
Qui aliud quidem occultat animo, aliud verò loquitur.
Quod ſi fallacium didiciſſem lenimenta ſermonum,
Blandis verbis animos circa & aures mulcens,
Ideo qui priùs mihi dedit, ſtatim vitam auferret:
Non enim in mendaciis pater Deus erit auxiliator.

CAP. XXXIII.

Audi ergò me, Jobe, & noſtro ſermoni auſculta,
Quod nunc dixero, tuo repone animo.
Oris apertæ ſunt januæ, erupit autem vox,
Lingua mea moleſti rupit ſigillum ſilentii.
Edam recti cordis indicem ſermonem,
Labia mea prudentiam valde diſertè enarrabunt.
Nam & ego homo ſum, genus autem mihi inde, unde tibi:
Idcirco tu nè metue, mortalis quoque ego factus ſum,
Spiritûs immortalis opus, à-Deo-formatum monumentum,
Qualis etiam tu es, vitam verò ſpiritus Dei
Stillavit mihi in nares, & inſpiravit halitum.
Dic mihi ſi potes, & tibi lubitum eſt animo,

Surge,

Ὄρσεο, καί μ' ἀπαμείβευ ἐϋκρινέεσσι λόγοισιν.
6 Ὡς ποθέειν μοι ἔφης, τό τέ σοι πάλαι ἦεν ἐέλδωρ·
Εἴθ' ὄφελ' αὐτοῦ Ἄναξ ἐπέων ὑποδύμεν' ἀγῶνα,
Σοί τ' ἔειδα προσφέρεσθαι· ἰδοὺ ἐγὼ ἀντὶ Θεοῖο
Καί τέ μοι ἐκ πηλοῖο δέμας πεπλασμένον ἐστὶ,
Καὶ χθονίῳ κενεῶνι πεφυρμένον ἔργον ἐπιχθών,
Ὡς ἄλλοι βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
7 Τῷ σ' ἐγὼ οὐ πτοιήσω ἀγηνορίῃσι πεποιθὼς,
Οὐδέ σοι, οὐ γὰρ ἔοικε, βαρείας χεῖρας ἐπιΐσω.
Θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην.
8 Οὔας ἐμόν σοι ἔκλινα, σέθεν δ' εἰπόντος ἄκουσα,
Ἦ μάλ' ὑπερφίαλον ἔπος ἔκβαλες· ὣς γὰρ ἔφησθα,
9 Ἁγνὸς ἐγὼ, καθαρός τε, καὶ ἄρτιος, οὐδ' ἀλιτήμων,
Οὔ μοι ἀτασθαλίη, οὐδ' ἀμπλακίη ἔνι δεινή.
10 Ῥεῖα Θεός κ' ἐθέλοι καὶ ἀναίτιον αἰτιάασθαι,
Εὗρε δ' ὀπισχεσίην μομφῆς, ἵνα μ' αἰτιόῳτο,
Θῆκέ με δυσμενέος καὶ ἀνάρσιου ἀνδρὸς ἐν αἴσῃ.
11 Ταρσά μευ ἀστεμφέως ἐνὶ χοινίκεσσιν ἔπηξεν,
Ἀσφαλέως τε κέλευθα, καὶ ἴχνια πάντα φύλαξεν.
12 Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Τοῦτο σχέτλιος εἶς, ἐπεὶ οὐ κατὰ μοῖραν ἔειπες.
Ὢ πόποι, οἷ' ἔφησθα; Θεὸς δέ τε φέρτερος ἀνδρῶν,
Τοῦ γὰρ καὶ μείζων ἀρετὴ, τιμή τε, βίη τε.
13 Τίφθ' οἱ ἐριζέμεναι ἐθέλεις; ἐπεὶ οὐδέ τι σοῦ χρή.
Οὔποθ' ἑῶν ἐπέων δώσει λόγον· οὐ γὰρ ἀνάγκη
Μὴ δὴ πάντας, Ἰωβε, Θεοῦ ἀπέλπεο μύθους
Εἰδήσειν· χαλεποί τοι ἔσοντ' ἀγαθῷ περ ἐόντι.
14 Εἶπεν ἅπαξ, δὶς ἔλεξε, βροτὸς δέ μιν οὐκ ἐνόησεν,
Οὐδέ τις αὐτοῖο ξυνίει ὄπα φωνήσαντος.
15 Ἐν δ' ἄρα νυσταγμοῖς, καὶ φάσμασι, νυκτὸς ἀμολγῷ,
Ὁππότε φῦλα βροτῶν μαλακῷ δεδμημένοι ὕπνῳ
Ἡδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσιν·
16 Ἔνθα περ οὖατ' ἀνῷγε Θεὸς μεροπήϊδι φύτλῃ,
Καὶ μάλα πόλλ' ἐπέτελλε, καὶ ὡς σφρηγῖδι χάραξεν
Ἣν ὑποθημοσύνην, ἵνα μὴ ληθοίατ' ἐφετμέων.
17 Ὄφρ' ἀνδρὸς μεμαῶτος ἀπ' ἔργου θυμὸν ἐρύξῃ,

Καὶ

Surge, & mihi reſponde diſtinctis ſermonibus.
Sic optare te dix'ti, hócque tibi dudum erat deſiderium;
Utinam ipſe Rex verborum ſubiret certamen,
Tibíque litem intentaret: ecce ego vice Dei:
Etiam & mihi ex luto corpus fictum eſt,
Et terreno pulvere maceratum opus ſum,
Sicut alii mortales ſunt in terra pane veſcentes.
Quocirca te ego non terrefaciam inſolentiâ fretus,
Nec tibi (non enim decet) graves manus inferam.
Confide, neque prorſus in mente timeas valde.
Aurem meam tibi inclinavi, téque loquentem audii;
Certè valde arrogans verbum jactâſti; ità enim dix'ti,
Purus ego, mundúſque, & integer, neque peccator;
Non mihi improbitas, neque iniquitas ineſt gravis.
Facilè Deus velit vel inſontem criminari;
Invenit autem prætextum reprehenſionis, ut me incuſet,
Poſuit me inimici & inſenſi hominis in loco.
Pedes meos tutò in cippo fixit,
Firmitérque vias & greſſus omnes cuſtodivit.
Aliud verò tibi dicam, tu autem in animo perpende tuo;
In hoc *ſaltem* improbꝰ es, quoniā non ſecundū decens dixiſti
Papæ! quale dix'ti? Deus autem præſtantior hominibus,
Cujus & major virtus, honórque, potentiáque. (portet:
Quare cum eo contendere vis? quandoquidem neq; te o-
Nunquam ſuorum verborum dabit rationem; non enim ne-
Nè omnia, Jobe, Dei ſperato conſilia (ceſſe.
Te ſciturum: difficilia tibi erunt, bonus licèt ſis.
Dixit ſemel, bis locutus eſt, homo verò ipſum non ſenſit,
Nec quis ipſius percepit vocem loquentis.
In dormitationibus verò & viſionibus, nocte mediâ,
Quando gentes hominum molli obrutæ ſomno
Valde ſuaviter dormiunt in ſomniorum portis;
Tum aures aperuit Deus mortali generi,
Et admodum multa mandavit, & veluti ſigillo ſignavit
Suum monitum, ut nè obliviſcerentur præcepta.
Quando viri propenſi ab incepto animum cohibet,

Καὶ δή μιν καταπαύσῃ ἀχλυοείης ἀλεγεινῆς.
18 Ἄλλοτε μὲν πρόφρων οἱ ἐπήρκεσε λυγρὸν ὄλεθρον,
Ζωήν τε ξίφεος, ψυχὴν ῥύετ' ἐξ Ἀΐδαο.
19 Ἄλλοτε δ' αὖ κακὰ ἔδωκε Πατὴρ, ἑὸ πειρητίζων·
Ὡς ὁ μὲν ἐν λέκτρῳ κεῖται κρατερ' ἄλγεα πάσχων,
Ὀξείῃς ὀδύνῃσι πεπαρμένος ὀστέα πάντα.
20 Ἄκμηνος πόσιος καὶ ἐδητύος, οὐδέ μιν ἄρτου
Σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ,
(Τείρετο γάρ ῥ' ἄχεϊ) στυγέει δέ τε δαῖτα θάλειαν.
21 Σάρκες οἱ ἐξεμάρανθεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Αἳ πάρος ἐξῴδησαν, ἀτὰρ νῦν οὐχ ὁρόωνται·
Ὀστέα δὴ προὔχουσι, τὰ καὶ πάρος οὐκ ἐφάανθεν.
22 Ὡς δ' ὁ στεροπλὴξ ἐστι, τάφον δέ οἱ ὄσσετο θυμὸς,
Φῆ ῥ' οὐ δὴν ζωοῖσι μετέμμεναι, αὐτὰρ οἱ ἤδη
Ἀγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
23 Εἰ δέ τις οἱ γε πάρεσι μετάγγελος, ἢ ὑποφήτης,
Κῆρυξ εὐδικίης, ἐπιμάρτυρος εὐνομιάων,
Εἷς ἀπὸ χιλιάδων, πολλῶν τ' ἀντάξιος ἄλλων,
Ὅστις ἐπίσταιτο ἤπι φρεσὶν ἄρτια βάζειν,
Ὅς κέν οἱ εὐσεβίης δείξῃ ὁδὸν, ὄφρα πίθηται·
24 Αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται αὐτῷ,
Καὶ φήσει μιν πότμου ἀδευκέος ἐξαναλύσειν,
Οὕνεκα λύτρον ἔτετμε, καὶ ἀγλαὰ δέξατ' ἄποινα.
25 Ὡς ὅγε λωφήσει τε κακοῦ, καὶ νοῦσον ἀλύξει,
Χρὼς δέ οἱ ἀκμηνώδης γελόων παλιναυξέϊ δημῷ,
Ὡς πρὶν, ἐπ' ἀγλαΐηφι γανύσσεται ἀμφὶ μέλεσσι.
Γυῖά τε καὶ σάρκες λιπαρώτεραι, ἢ ἀπαλοῖο
Παιδὸς τὸν δ' ἀτίταλλε πατὴρ θαλίῃ ἐνὶ πολλῇ.
Ἂψ δ' ἀναθηλήσει ἥβης χαριέστατον ἄνθος.
Ὡς γάρ ὁ θεῖος Ἄναξ ἐσθλῶν ἕνεχ' ὅσσα ἔοργεν,
Γῆρας ἀποξύσας θήσει νέον ἡβώοντα.
26 Ἀθάνατον λιτανεύσει, ὁ δ' ἤπια δήνεα εἰδὼς
Εὐχωλῇσιν ἑῆς ἀειήκοον οὖας ἐρείσει.
Χάρμη γηθόσυνος θείην εἰσόψετ' ὀπωπήν.
Ὡς ὁ μὲν τῆς ἀρετῆς Θεοῦ ἐννομίησιν ἐπαυρεῖ,
Ὅς τε δίκην τίεσκε, καὶ αἴσιμα ἔργ' ἀνθρώπων

Εὐσεβί-

Et eum deſiſtere-facit à ſuperbia gravi. (tium,
Interdum quidem benevolus ab eo propulſat ſævum exi-
Vitámque à gladio, animam liberat ab inferno.
Interdum autem viciſſim mala dat Pater, eum tentans:
Ità hic in lecto jacet graves dolores patiens,
Acutis doloribus transfixus oſſa omnia.
Jejunus potûs & cibi, neque eum panis
Cibíque dulcis circa mentem appetitus tenet,
(Conficitur enim dolore) abhorrétque ab epulis lautis.
Carnes ei contabeſcunt in flexilibus membris,
Quæ priùs turgebant, at nunc non videntur;
Oſſa autem prominent, quæ antea non apparebant.
Ità hic capularis eſt, ſepulcrum verò ejus præſagit animus,
Putat non diu vivis intereſſe, ſed ei jam
Propè imminet mors & fatum violentum.
Quòd ſi quis ei adeſt internuncius, aut interpres,
Præco juſtitiæ, teſtis æquitatis,
Unus è millibus, multorúmque inſtar aliorum,
Qui noverit animo ſuo ſana loqui,
Qui ei pietatis monſtret viam, ut obtemperet:
Statim deinde propitius Olympius erit illi,
Et dicet ſe illũ ab interitu acerbo liberaturum, (nis pretium.
Quoniam lytrum invenit, & ſplendidũ accepit redemptio-
Ità hic reſpirabit à malo, & morbum fugiet,
Caro autem ei florida renidens recreſcente adipe,
Sicut priùs, præ ſplendore nitebit circa membra.
Membráque & carnes nitidiores, quàm teneri
Pueri, quem educavit pater lautitiis in multa.
Denuóque regerminabit juventutis gratiſſimus flos.
Sic enim eum divinus Rex, bonorum ergò quæ fecit,
Senectutem abradens faciet juvenem pubeſcentem.
Immortalem orabit, is autem lenia conſilia ſciens
Precibus ejus proclivem aurem arriget.
Gaudio hilaris divinam intuebitur faciem.
Ità hic quidem ex ſua virtute Dei æquitate fructum-capit,
Qui jus colit & honeſta opera hominum

Εὐσεβέων, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
27 Ἄνδρας ὀπιπεύει, τῶν δ' εἴ τις ἔειπεν, Ἅμαρτον,
Ἐκ τε δίκην ἔλασσα, σκολιάς τ' ἔκρινα θέμιστας,
Οὐδέ τι μοι χραίσμησεν, ἀτὰρ καὶ μᾶλλον ἀάσθην·
28 Ῥύσεται ἣν ψυχὴν, ἡ δ' ἐκ ἀΐδόσδε βέβηκεν,
Ἀλλ' ὅγ' ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
29 Πολλάκι τοι τάδε πάντα Θεὸς βροτὸν ἄνδρα ἔοργε.
Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Αὐτὸς ἔχει, τοῖσίν τε βροτῶν φρένας ἐξακέσαιτο.
30 Ὄφρ' ἀνδρὸς ψυχὴν πάλιν ἐλθεῖν, ἠδὲ λεϊστὴν
Δοίη, καὶ παλίνορσον ἀπὸ στυγεροῦ ἀΐδαο
Ἐξαγάγοι προφόωσδε, ὁ δ' ἠελίου ἴδοι αὐγὰς
Τυμβόθεν ἐξαναβὰς, καὶ ἔτι ζωοῖσι μετείη.
31 Τοὔνεκά τοι ἐρέω. σὺ δὲ σιώπα, καί μευ ἄκουσον,
Σιγῇ ἀτρέμας ἧσο, τεῒν δ' ἐγὼ ἄρτια λέξω.
32 Εἰ δέ τι σοι ἔπος ἐστὶν, ἀμείβεο, μὴ ἐπικεύσῃς,
Αὔδα ὅ, τι φρονέεις, ἐθέλω γὰρ συνήγορος εἶναι,
Σῆς τε δικαιοσύνης ἐπιμάρτυρα μῦθον ἐνισπεῖν.
33 Εἰ δ' οὐκ οἶδα λέγειν, ἐμῆς ἐπικέκλυθι φωνῆς,
Σιγῇ νῦν ξυνίει, καὶ ἐγὼ πινυτὴν σε διδάξω.

ΚΕΦ. λδʹ.

1 Ἥτοι ὅγ' ὡς εἶπεν Βαραχιήλου υἱὸς ἀμύμων·
Οὐδ' ἐπέων ἔτι λῆξεν, ἰδὼν δ' ἀκέοντας ἑταίρους
Κύκλῳ ἑζομένους, ἔπεα πτερόεντα προσηύδα·
2 Κέκλυτέ μευ μύθων μάλα περ πεπνυμένοι ἄνδρες,
Κλίνατε δ' οὔατά μοι πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
3 Δεῖπνα γὰρ ἠὔτε γλῶσσα πολύτροπα καὶ μάλα πολλὰ
Κεῖνεν ἐπισταμένως, (ἦ γὰρ στόματος φύσις ἐστὶ)
Παντοίων δ' ὄψων λάβε γεύματα, καὶ χυμὸν ἔγνω·
Ὡς οὐάς τ' ἐπέων ἴστωρ καὶ μάρτυρός ἐστιν,
Ἅσσ' ἔπεά τε καὶ οὐκί, τά θ' ἡδέα πικρά τε, ἤδη.
4 Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες·

Μήτι

Piorum, nequis ſuâ fraudatus abiret portione.
Viros contemplatur, eorum verò ſiquis dicat, Peccavi
Judiciúmque perverti, & iniquo-jure judicavi cauſas,
Necquicquam mihi profuit, verùm etiam magis læſus ſum;
Liberabit ejus animam, ea .a. non ad-inferos deſcendit,
At ille adhuc vivit, & videt lucem ſolis.
Sæpe hæc omnia Deus mortali viro fecit.
Pharmaca plurima quidem bona mixta, multa autem triſtia
Ipſe habet, quibus mortalium mentes ſanet.
Ut viri animam revocabilem, & reparabilem
Det, & reducem ab inviſo inferno
Educat in-lucem, is autem ſolis videat jubar
E-tumulo reſurgens, & adhuc vivis interſit.
Ideo tibi dicam, tu autem animadverte, & me audi,
Silentio quietus ſede, tibi autem ego ſana dicam.
Sin verò aliquod tibi verbum ſit, reſponde, nè celes,
Eloquere quod ſentis, volo autem patronus eſſe,
Tuæque juſtitiæ teſtem ſermonem proferre.
Quòd ſi neſcis loqui, meæ auſculta voci;
Tacitè nunc attende, & ego prudentiam te docebo.

CAP. XXXIIII.

UTique ſic dixit Baracheli filius inſignis;
Nec dictis adhuc deſtitit, videns autem tacentes ſocios
Circùm ſedentes, verba alata dixit;
Audite meos ſermones admodum licèt cordati viri,
Inclinatéque aures mihi prudentia mente conſilia habentes.
Cœnas enim ut lingua varias & multiplices
Dijudicat peritè, (hæc enim oris natura eſt) (novit:
Omnigenorum autem obſoniorum capit guſtus, & ſaporem
Sic auris verborum arbitra & teſtis eſt,
Quæque vera *ſunt* & non, quæque jucunda acerbáq;, ſcit.
Sed agitè, ut ego dixero, pareamus omnes;

Μῆτιν ὑφήναιμεν, καὶ ἐπιφρασσαίμεθα βουλὴν,
Ὄφρ' εὖ εἰδῶμεν τί νυ φέρτατόν ἐστιν ἑλέσθαι.
5 Κυδιόων γὰρ Ἰώβος ἔφη, Ἐγώ εἰμι δίκαιος,
Ἐκ τὴν δίκην μοι ἔλασσε Θεὸς, καὶ ἔκλεψε θέμιστας·
6 Ἦ ῥά νύ τι ψεῦδος ἐρέω κατ' ἐμεῖο δικάζων;
Ἀλλ' οὐ χρὴ ψεύδεσθαι ἐπιστάμενον σάφα εἰπεῖν.
Ἕλκος ἐμεῦ ἄμοτον, καὶ ἀνήκεστον πέλει ἄλγος,
Τοῦ δ' οὐκ αἰτίη ἐστὶν ὑπερβασίη ἀλεγεινή.
Ὣς ἔφαθ' ὑψαγόρης, καὶ ἀγλωσσείῃσι πιθήσας.
7 Ὢ πόποι, οἷοι δή νυ Θεὸν βροτοὶ αἰτιόωνται;
Ἐκ κείνου γάρ φασι κάκ' ἔμμεναι· ἀλλὰ καὶ αὐτοὶ
Σφῆσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
Ὣς οὐκ ἔστιν Ἰώβου ὀνοσότερος βροτὸς ἄλλος,
Ὅσπερ ἐλεγχείην καὶ μυκτηρισμὸν ἔπινεν,
Ὡς ὅτε διψαλέος τις λαυρότατον πίεν ὕδωρ.
8 Ὃς ῥ' ὁδὸν αὐτὴν βαῖνε μετ' ἐργατίνης κακότητος,
Καί σφιν ὁμάρτησεν, τοῖς σχέτλια ἔργα μέμηλεν.
(Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει Θεὸς ὡς τὸν ὁμοῖον.)
9 Καὶ πάλιν αὐτὸς ἔφη ὑπεροπλίῃσι νόοιο,
Οὐδὲ γὰρ οὐδ' οὕτω μέγ' ὀφέλλεται, οὐδ' ὀνίνηται
Ἀνὴρ, ὅς τε Θεοῖο τετάρπεται φίλον ἦτορ.
10 Ἀλλὰ πίθεσθε καὶ ὕμμες, ἐπεὶ πείθεσθαι ἄμεινον,
Κέκλυτέ μευ μύθων, ὅσοι πυκινόφρονές ἐστε.
Οὐ μέν πω κάκ' ἔοργεν Ἄναξ, ἐπεὶ οὐδὲ γένοιτο,
Οὐδέ τις Ἀθανάτῳ πάρ' ἀτασθαλίη ἀλεγεινή.
11 Ἀνδρὶ γὰρ ὧν ἔργων ἀντάξιον ὤπασε μισθὸν,
Ἀνταποδοὺς κατ' ἑὴν ὁδὸν, ἣ θέμις ἐστὶν, ἑκάστῳ.
12 Οὐ νύ κεν ἀμπλακίῃ εἴκων Θεὸς αἴσυλα ῥέζοι,
Οὐδέ ποτ' Ἀθάνατος σκολιὰς κρίνειε θέμιστας.
13 Τίς μέν οἱ οἴηκα στεροπῆς ἐπετείλατο γαίης;
Τίς χθονὸς εὐρυχόροιο μέδων, ὢ κόσμος ἀπείρων,
Ὤ, λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλεν;
14 Εἰ βροτὸν ὀξὺ νοήσῃ, ἐὸν δ' ἀπὸ θυμὸν ἕληται,
Ἀθμόν τε καὶ πνοιὴν πάλιν εἰς ἓ τ' αὐτὸν ἀγείρῃ,
15 Πᾶσ' ἅμα σὰρξ ἀπολεῖται ἐπήτυμος, ἐς τὴν κονίην
Ἀνέρες ἂψ λύσονται, ὅθεν πάρος ἐγγεγάασιν.

16 Εἰ

Conſultationem ineamus, & capiamus conſilium,
Ut bene ſciamus quid optimum eſt eligere.
Glorians enim Jobus dixit, Ego ſum juſtus,
Jus autem mihi pervertit Deus, & fefellit cauſam :
Nunquid mendacium dicerem meipſum condemnans ?
At non oportet mentiri ſcientem vera dicere.
Vulnus meum ingens, & inſanabilis eſt dolor,
Ejus autem cauſa non eſt iniquitas gravis.
Sic dixit grandiloquus, & arrogantiâ fretus.
Papæ! quomodo Deum mortales culpant !
Ex eo enim inquiunt mala eſſe: at illi ipſi
Suâ ſtultitiâ præter fatum dolores patiuntur.
Adeò non eſt Jobo vilior mortalis ullus,
Qui probrum & ſubſannationem bibit,
Sicut cùm ſitibundus aliquis copioſam bibit aquam.
Qui viam eandem iniit cum operatoribus mali,
Et iis comitem-ſe-præbuit, quibus ſcelerata opera curæ-ſunt.
(Sic ſemper ſimilem ducit Deus ad ſimilem)
Et rurſus ipſe dixit ſuperbiâ mentis,
Neque enim adeò magnopere amplificatur, neque juvatur
Vir, qui Deo delectaverit charum cor.
At obedite vos, quia obedire melius ;
Audite mea dicta, quotquot ſapientes eſtis.
Neutiquam ſanè mala fecit Rex, quandoquidem abſit,
Nec ulla *eſt* apud Immortalem improbitas gravis.
Viro enim ſuis operibus dignam præbuit mercedem,
Rependens ſecundùm ſuam viam, quatenus fas eſt, unicuiq;.
Nequaquam iniquitati cedens Deus nefaria patrare-queat,
Neque unquam Immortalis perverſa dederit judicia.
Quis ei gubernaculum ſtabilis mandavit terræ ?
Quis telluris vaſtæ imperator, cui mundus ingens,
Cui populi ſunt commiſſi, & tot curæ-ſunt ?
Si hominem acriter obſervet, ejus verò vitam auferat,
Halitúmque & ſpiritum retro ad ſeipſum recolligat,
Omnis ſimul caro peribit denſa, inque pulverem
Homines iterum ſolventur, unde priùs nati ſunt.

16 Εἴ τοι ἐχέφρων θυμὸς ἐνὶ στήθεσσιν, Ἰώβε,
Σώζεο, καί μευ ἄκουσον, ἰδ' ἐν φρεσὶ βάλλεο μῦθον.
17 Ἦ ὅγε κοίρανος ἔσαι, ὃς οὐκ ἀλέγιζε θεμίστων,
Ἀλλὰ δίκην ἔχθαιρε, καὶ οὐκ ὄθετ' αἴσυλα ῥέζων;
Καὶ σὺ δικαιότατον πάντων καταχρινέμεν ἔτλης;
18 Ἦ ῥά νύ τις κατὰ μοῖραν ἐπισβόλος, Ὦ ἄνα, φησί,
Σχέτλιος εἶς, καὶ ἀλιτρός· Ἀτάσθαλοί ἐστε, μέδοντες;
Τίς γὰρ ἂν ὧς τόλμησε λιγύς περ ἐὼν ἀγορητὴς
Νεικείειν βασιλῆας ὀνειδίοις ἐπέεσσι;
19 Πῶς οὖν οὐκ ἀπέοικε Θεῷ τάδε μυθήσασθαι;
Ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ὅς τ' οὐκ αἰδεῖται βασιλήων σεμνὰ πρόσωπα,
Οὐδ' ὄθετ' ἀφνειῶν· πτωχὸς γὰρ ἐναντίον αὐτοῦ
Πλουσίῳ ἔστ' ἀτάλαντος, ὁμοίης τ' ἔμμορε τιμῆς·
Ἶσον γὰρ σύμπαντες ἑῶν ἔργον παλαμάων.
20 Ἐμματέως ἅμα τοῦσδε τέλος θανάτοιο κάλυψε,
Τάρβησαν δ' ἄρα φῦλα βροτῶν ἐνὶ νυκτὸς ἀμολγῷ,
Αὐτίκα δὲ φθινύθουσιν ἀχήνιοι, οἱ δέ τ' ἄνακτες
Ἐξ ἑδέων ἐρειπόντες, ὀδὰξ ἕλον ἄσπετον οὖδας,
Οὐ βροτοῦ, ἀλλὰ Θεοῦ πληγῇ καὶ χειρὶ δαμέντες.
21 Τοῦ μὲν γάρ τ' ὀφθαλμοὶ ἐπ' ἀνδρῶν εἰσι κελεύθους,
Πανδερκεῖς τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Δενδίλλων ἐς ἕκαστον ἴδεν πάντ' ἴχνια φωτῶν.
22 Οὐ τόσσον σκότος ἐστὶν ἐνὶ σκιόεσσι μελάθροις
Νέρθεν, ἀτὰρ κῆρες μέλανος θανάτοιο νέμονται,
Ὅσσον ἀτασθαλίης ὑποφήτορας ἀμφικαλύπτοι.
23 Εἴ τις ὀϊζύσειε κακῶν ἕνεχ' ὅσσα ἔοργεν,
Ἣν δ' ἀτίω τίζειε, Θεὸς δέ ἑ σιφλώσειεν,
Ἀλλὰ μὲν οὐδ' οὔπω πλέον, ἢ θέμις ἐστί, πέπονθεν,
Ὄφρα Θεῷ εἴξῃ. ἕο τ' ἐν δίκῃ ἀντίος ἔλθῃ
Ὕβρεος εἵνεκα τῆσδε· δικαιόταται γὰρ Ἐριννῦς.
24 Θραῦσε δὲ μυρία φῦλα μεγασθενέων βασιλήων,
Οὐτιδανούς τε καθεῖσεν ἐφ' ὑψηλοῖσι θρόνοισιν.
Οὕτω γὰρ νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
Ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.

Si tibi prudens animus in pectoribus, Jobe,
Attende, & me audi, & in animo perpende ſermonem.
Num ille princeps erit, qui non curat jura,
Sed jus odit, & non moratur ſceleſrata committens?
Etiam tu juſtiſſimum omnium condemnare audes?
Num quis ſecundùm decorum rabula, O rex, inquit,
Improbus es, & tranſgreſſor; Scelerati eſtis, principes?
Quis enim ità auſus fuerit, eloquens licèt ſit orator,
Increpare reges contumelioſis verbis?
Quomodo ergò non dedecet Deo hæc dicere?
Qui omnibus mortalibus & immortalibus imperat,
Quique non reveretur regum graves vultus,
Neque curat divites: pauper enim in-conſpectu ejus
Diviti eſt æqualis, parémque ſortitur honorem:
Æquale enim omnes ejus opus *ſunt* manuum.
Confeſtim ſimul hos finis mortis obtexit,
Conterritæ autem ſunt nationes hominum extremâ nocte,
Statim autem pereunt imbecilles, regéſque
E ſolio lapſi mordicus arripuerunt immenſum ſolum,
Non hominis, ſed Dei ictu & manu domiti.
Ejus enim oculi ſuper virorum ſunt vias,
Omniáque videntes, verſantur per civitates,
Hominum injuriam & juſtitiam inſpicientes.
Circumſpectans in unumquemque videt omnes greſſus ho-(minum.
Non tantæ tenebræ ſunt in umbroſis domiciliis
Subtèr, quæ Parcæ nigræ mortis incolunt,
Quantæ improbitatis miniſtros obvelare-queant.
Siquis afflictus fuerit malorum ergô quæ commiſit,
Suamq; culpam luerit, Deus autē ipſum ignominioſum-red-(diderit,
At neq; ſic plus, quàm fas eſt, paſſus fuit,
Ut cum Deo contendat, eique in jure obviàm veniat
Propter injuriam hanc: juſtiſſimæ enim *ſunt* Erinnyes.
Contudit autem innumeras gentes præpotentium regum,
Nulliúſque-notæ *homines* collocavit in excelſis thronis.
Sic enim diſtribuit Olympius felicitatem hominibus,
Bonis atque malis, prout vult, unicuique.

Quorum

25 Τῶν δ' εὖ γινώσκει ὕβριν καὶ ἀτάσθαλα ἔργα,
Καδδ' αὐτοὺς ἀνὰ νύκτα μέσην βάλε χειρὶ βαρείῃ,
Οὐτάμενοι δ' ἄρα πάγχυ κατήριπον ἐν κονίῃσιν,
Πρηνέες ἐν κονίῃσι κατήριπον, ἠδ' ὀλέκοντο·
26 Πλῆξε δὲ τοὺς ἀναφανδὸν, ὅθι πλεῖστος πέλε λαὸς,
Πάντες ἵν' ἀθρήσωσι, Θεοῦ τ' ὄπιδα τρομέωσιν,
Ὧδε δέ τις τότε εἴπῃ ἰδὼν ἐς πλησίον ἄλλον,
Οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει πότμος ἀλείτην,
Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ, τις τοιαῦτά γε ῥέζοι.
27 Ὅττι Θεοῦ ἀπονόσφι μετάτροπον ἴχνος ἔθηκαν,
Ἂψ τ' ἀνεχώρησαν, χάζοντό τε πολλὸν ὀπίσσω,
Καί σφισιν οὔ τι μέμηλεν ὁδῶν περὶ θεσπεσιάων.
28 Οἱ μὲν ἐφυβρίζουσι, βοὴ δ' ἄσβεστος ὀρώρει
Πτωχῶν λευγαλέων, τοὺς τε τρύχουσι βίηφι,
Κραυγὴ δ' οὐρανὸν ἷκε, καὶ οὔατα βάλλε Θεοῖο·
Πτωχὸς μὲν βοάασκε, Θεὸς δ' ἀΐεσκε λιτάων.
29 Ὃς δ' ὁπόταν κατάπαυμα διδῷ, τίς τάρβος ἐνόρσει;
Τίς δέ μιν ἀθρήσει, ὅτ' ἑὴν ἐκάλυψεν ὀπωπήν,
Ἢ μὲν ὅταν ξυνόν τε κακὸν πολέεσσι τιθῆσιν,
Ἀνδράσι καὶ δήμῳ κεχολωμένος, ἢ δ' ἑνὶ μούνῳ;
30 Κοιρανέειν οὐκ εἴα ἐν ἀνδράσιν ἠπεροπῆα,
(Σκῆπτρόν τ' ἠδὲ θέμιστας ὃ γὰρ βασιλεῦσιν ἔδωκε)
Μή τι κακορραφίῃσι καταστρύχῃ πολιήτας
Δημοβόρος, τῷ τ' αἰὲν ἀήσυλα ἔργα μεμήλῃ,
Μὴ λαοὶ παγίδεσσιν ἐνιπλεχθῶσι βαρείῃς,
Μήπως ὡς ἀψῖσι λίνου ἁλόντες πανάγρου
Ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένωνται.
31 Τῷ σε χρὴ, ὦ Ἰωβε, Θεῷ τοιαῦτ' ἀγορεύειν,
Ἵλαθί μοι, Βασιλεῦ, καὶ μείλιχον ἔνθεο θυμόν·
Ὤ μοι ἐγὼ, ὅτι πόλλ' ἔπαθον, καὶ πόλλ' ἐμόγησα·
Οὐκέτ' ἁμαρτήσω, μὴ ῥίγιον ἄλλο τι πάσχω.
32 Εἰ δ' ἄγε, δεῖξον ἔμοιγε, τὸ μὴ δύναμ' αὐτὸς ἰδέσθαι·
Εἴποτ' ἀλιτραίνον φρεσὶ λευγαλέῃσι πιθήσας,
Ἀλλά μοι οὐλομένης ἔσται κακότητος ἐρωή.
33 Ἦ τάδε ἔργ' ἔσται, ὥς σοι φίλον ἔπλετο θυμῷ,
Ἀλλ' ἤτοι μὲν ταῦτα Θεοῦ ἐν γούνασι κεῖται·

Καὶ

Quorum autem bene cognoſcit iniquitaté & mala opera,
Eos nocte mediâ dejecit manu gravi,
Vulnerati autem illi ceciderunt in pulvere,
Proni in pulvere ceciderunt, & perierunt.
Percuſſit verò eos in-propatulo, ubi plurimus erat populus,
Omnes ut viderent, Deiq; vindictam timerent;
Sic autem quiſpiam tum dicat intuens in vicinum alium,
Non bene-ſuccedunt mala opera, aſſequitur interitus pecca-
Sic pereat & alius, quicunque talia fecerit. (torem;
Quoniam ſeorſum à Deo mobilem greſſum poſuerunt,
Rurſúmq; regreſſi ſunt, receſſerúntq; longè retro,
Et iis nihil curæ-eſt viis de divinis.
Hi quidem injuriosè-agunt, clamor verò immenſus oritur
Pauperum miſerorum, quos vexant violentiâ:
Clamor autem ad cœlum pervenit, & aures perculit Dei;
Pauper quidem clamavit, Deus autem audiit preces.
Qui cùm requiem dederit, quis tumultum excitabit?
Quis autem ipſum aſpiciet, cùm ſuam abſconderit faciem,
Sive cùm commune malum multis dederit,
Viris & populo iratus, ſive uni ſoli?
Imperare non ſivit inter homines hypocritam,
(Sceptrum & jura hic enim regibus dedit)
Nè malis-machinationibus opprimat cives
Populi-vorator, cui ſemper injuſta opera curæ-ſint,
Nè populi laqueis implicentur gravibus,
Nè veluti nexibus lini capti omnia-venantis
Hoſtibus præda & lucrum fiant.
Quamobrem te oportet, ô Jobe, Deo talia fari,
Propitius-eſto mihi, Rex, & placidum ſume animum;
Hei mihi! quia multa paſſus ſum, & multa pertuli:
Non ampliùs peccabo, nè durius aliud quid patiar.
Eia agè, oſtende mihi, quod non poſſum ipſe cernere;
Siquando peccavi menti pernicioſæ obtemperans,
At mihi peſtiferæ erit malitiæ ceſſatio.
Num hæc opera erunt, ſicut tibi placitum eſt animo?
Sed profectò hæc Dei in genibus poſita ſunt:

Etenim

Καὶ γὰρ ἔγ᾽, εἴτ᾽ ἐθέλεις, ἀποτίσεσθαι, εἴτ᾽ ἀνανεύεις,
Οὔτι ἐγώ· τῷ καὶ σὺ πιφαύσκεο ὅ,ττι περ οἶσθα.
34 Μᾶλλον δ᾽ ἀγχίνοοι καὶ ἐχέφρονες οἵ περ ἔασιν,
Οἱ φρεσὶ πευκαλίμῃσι κεκασμένοι ἐν μερόπεσσιν,
Εἴπωσιν, καὶ ἐμῶν νόῳ ἐμπάζοιατο μύθων.
35 Νήπιός ἐστιν Ἰώβος, ἐπεὶ ἀνεμώλια βάζει,
Πολλά τ᾽ ἐν ἄμμιν ἔειπεν, ὅσ᾽ οὐ πεπνυμένος ἀνήρ
Ὥς οὐ οἱ χείλεις ἀμφιπεριστέφεται ἐπέεσσιν.
36 Ὦ Πάτερ ἡμέτερ᾽, ὦ Βασιλεῦ, ὕπατε κρειόντων,
Εἴθ᾽ ὡς ἄχρι τέλευς δοκιμάζοις τοῦτον Ἰώβον,
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
Οὕνεκ᾽ ἐοῖς ἐπέεσσι συνήγορός ἐστιν ἀλιτρῶν.
37 Θῆκε δ᾽ ἀποστασίην ἐπ᾽ ἀτασθαλίῃ ἀλεγεινῇ,
Σχέτλια δήνεα οἶδε, Θεοῦ δ᾽ οὐ πείθετο βουλῇ·
Χερσί τε συμπλατάγησεν, ὀνείδεα τ᾽ ἄμμιν ἔθηκε,
Καί τ᾽ ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη,
Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι Θεῷ αὐτῷ.

ΚΕΦ. λε΄.

1 ὯΣ ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη
Ὑββάλλειν, χαλεπὸν γὰρ ἐπισταμένους περ ἐόντας·
Σιγῇ τοίγ᾽ ἕζοντο, πάλιν δ᾽ ὅγε μῦθον ἔνισπε,
2 Ὢ πόποι, ἦ ῥ᾽ ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπες,
Καὶ μάλ᾽ ὑπερφίαλον ἔπος ἔκβαλες, ὡς ἀγορεύων,
Ἦ μὲν ἔγωγε δικαιότερος Θεοῦ εὔχομαι εἶναι·
Ἦ οἴεις, ὅτι τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες;
3 Ἀλλ᾽ οὕτω καὶ ἔφησθα, Τί γὰρ μέγα ἔσσετ᾽ ὄνειαρ,
Ἢ τί νύ μοι ὄφελος κεκαθαρμένῳ ἀμπλακιάων;
4 Τοὔνεκ᾽ ἀμειβόμενος χεύσω νημερτέα φωνήν,
Ἀντικρὺ δ᾽ ἐρέω ἅμα σοὶ καὶ σοῖς ἑτάροισιν.
5 Οὐρανὸν εἰσανίδοις, ὃ μετήορος ὑψόθι γαίης
Πέπταται ἀστερόεις, νεφέλας δὲ φράζεο θυμῷ,
Αἳ σέο πολλὸν ὕπερθε φορεύμεναι ἠερέθονται·
Τάων οὖν ὕπερ ἐστὶ Θεοῦ ἕδος ἀσφαλὲς αἰεί,
Τόσσον ὕπερθε πολύ, ὅσον οὐρανός ἐσ᾽ ἀπὸ γαίης.

Etenim ille,ſive velis,rependet, ſive recuſes ;
Non ego: quare etiam tu eloquere quod nôſti.
Potiùs autem ſolertes & cordati qui ſunt,
Mente prudenti inſtructi inter homines,
Dicant, & meos nunc curent ſermones.
Ineptus eſt Jobus, quoniam vana effutit,
Multáq; inter nos locutus eſt,qualia non ſapiens vir *dixerit*;
Adeò non ei gratia coronat verba.
O Pater noſter, O Rex, ſupreme principum,
Utinam uſque ad finem tentares iſtum Jobum,
Et quidem illud velim, & quidem multò utilius eſſet,
Quoniam ſuis ſermonibus advocatus eſt impiorum.
Addidit autem rebellionem iniquitati gravi,
Scelesta conſilia novit, Dei autem non paruit conſilio;
Manibúsque comploſit, contumeliáſque nobis dedit,
Qui verba animo ſuo inconditáque multáque novit,
Ut temere & non ſecundùm ordinē contendat *cum* Deo ipſo

CAP. XXXV.

SIc dixit; illi .a. omnes muti erant, nec quis auſus-eſt *eum*
Interpellare; difficile .n. *videbatur*, ſcientes quantumvis
Taciturni illi ſedebant,rurſus.a.hic ſermonē dixit, (fuerint:
Proh malum! bonus certèquanquam ſis,ſuperbè locutus es,
Et valde inſolens verbum effutiiſti, ſic dicens,
Sanè ego juſtiorem Deo me profiteor eſſe.
Num putas, quòd hoc dictum rectè dixiſti?
Verùm ſic etiam locutus es, Quod .n. magnum erit emo-
Vel quæ mihi utilitas purgato à peccatis? (lumentum,
Idcirco reſpondens fundam veram vocem,
Palámque edicam pariter tibi & tuis ſociis.
Cœlum ſuſpicias, quod ſublime ſupra terram
Expanditur ſtellatum, nubéſque conſidera animo,
Quæ longè ſupra te evectæ ſuſpenduntur:
Illis ſupereminet Dei ſedes firma ſemper,
Tantùm ſupra polum, quantùm cœlum diſtat à terra.

6 Καδδ' αὐτοῦ τί ποίησας ἀμήχανον, ὁππόθ' ἁμάρτῃς;
Ἠὲ τί μιν πολλῇσιν ὑπερβασίῃσιν ἔοργας;
7 Ἀλλ' ἔμπης τί δίδωσι αὐτῷ, εἰ ἐσσι δίκαιος;
Ἠὲ τί οἱ μέγ' ὄνειαρ ἔφυ σέθεν ἐκ παλαμάων;
Τὸν δ' ἀγαθός τε κακός τ' οὐ σίνεται οὐδ' ὀνίνησι.
8 Σεῖο μὲν ἀμπλακίῃ τάχα ἴψεται υἷας Ἀδάμου,
Οἷος καὶ σύ πέρ ἐσσι, κακόν τ' ἄνδρεσσι φυτεύσῃς·
Σεῖο καὶ εὐνομίῃ χραίσμῃ μεγασπίδι φύτλῃ,
Ἢ ἔπει, ἢ ἔργῳ χρεῖαν ἀνθρώποισι φέρουσα.
9 Πολλοὶ ὑπερφίαλοι καὶ ἀτάσθαλοι ἄνδρες ἔασιν,
Οἵ θ' ὕβρει εἴξαντες, ἑπισπόμενοι μένεϊ σφῷ,
Τείρουσι πτωχοὺς ῥηξηνορίῃ τε βίῃ τε,
Τῶν δὲ βιαζομένων στοναχὴ ἀλίαστος ὄρωρε,
Καὶ ῥυσταζομένων· ἔπι δ' ὑβρείστο βραχίων
Μαίνεται ὀβριμοεργὸς, ὃν οὐδένος οὐκ ἐπιεικτόν.
10 Οὐδέ τις ἐν τοῖσδεσσι διείρετο, Ποῦ Θεός ἐστιν,
Ὅς μ' ἔκαμεν τεύχων, τοῦ γὰρ πόνος εἰμὶ καὶ ἔργον,
Ὅς τ' ἀβρότην ἀνὰ νύκτα δίδωσι ἡδεῖαν ἀοιδήν·
11 Ὅς φρένιν ἀνθρώπους δέδαεν, καὶ μήδεα πυκνὰ,
Ζώων τ' ἄμμιν ἔδωκε περὶ φρένας ἔμμεναι ἄλλων,
Θηρῶν τ' ἀγρονόμων, καὶ ὑπουρανίων πετεηνῶν;
12 Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
Ὕβριος οὐλομένης, καὶ ὑπερφιάλων ἕνεκ' ἄτης,
Δὴν δ' ἀκέων Θεὸς ἧστο, καὶ οὐκ ἀΐοντι ἐοικώς.
13 Οὐδὲ γὰρ οὐράνιος πρόφρων ἐὸν οὓς ἐρείδει
Μαψιδίοις ἐπέεσσι Πατὴρ, ματίῃ τ' ἀλεγεινῇ·
Οὐδέ ποτ' Ἀθάνατος κενεόφρονος ἔκλυεν αὐδῆς,
Ἀνέρος οὔτ' ἀλέγιζεν, ὅ, τις τ' ἀνεμώλια βάζοι.
14 Εἰ καὶ ἔφης, Οὔπω μιν ἐγὼ δυνάμ' ἄντα ἰδέσθαι·
Ῥεῖα δ' ἀείγνωτος πέλεται Θεὸς εἰς ἐνὶ ἔργοις,
Ἴχνια παμφανόωντα, ἀρίζηλοι δέ οἱ αὐγαί.
Πὰρ δέ οἱ ἐστι δίκη, πὰρ δὲ κρίσις, ἠδὲ θέμιστες·
Τῷ τε σὺ θαρσήσας μάλα πείθεο καί σ' ἐπίβλεψον.
15 Νῦν δ' ἐπεὶ οὐχ ὕπο τινος Θεοῦ ἐστιν Ἰωβος,
Ὅς μὲν ὀδυσσάμενος χαλεπὴν οἱ ἔθηκεν ὀϊζύν·
Ἀλλ' ὅδ' ἀνὴρ ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ

Contra eum.a.quid feciſti incommodū, quando peccaveris?
Aut quid *in* eum multis transgreſſionibus commiſiſti ?
Verùm enimvero quid das ei, ſi es juſtus ?
Aut quodnam ei magnum emolumentum accreſcit tuis ex
Ei autem bonúsq; malúsq; nec nocet nec prodeſt. (manibus?
Tua quidem iniquitas citò lædet filios Adami,
Qualis & tu es, malúmq; hominibus parias:
Tua utique juſtitia profit humano generi,
Aut dicto aut facto gratificans hominibus.
Multi ſuperbi & improbi viri ſunt,
Qui inſolentiæ obtemperantes, obſequentes robori ſuo ,
Affligunt pauperes fortitudineq; viribúsque;
Horum verò violenter-tractatorum gemitus gravis oritur,
Et per-vim-tractorum; adhuc autem oppreſſoris brachium
Furit immane, cujus robur inſuperabile.
Nec quis inter iſtos quærit, Ubi Deus eſt,
Qui me elaboravit fabricans, ejus enim labor ſum, & opus,
Qui noctem per intempeſtam dat ſuavem cantilenam ;
Qui prudentiam homines docuit, & conſilia varia ,
Animaliáque nobis dedit mente ſuperare cætera,
Feráſque agreſtes, & aërias volucres?
Tunc verò ſimul ejulatus & preces erant virorum
Propter injuriam pernicioſam, & ſuperborum noxam;
Diu autem tacitus Deus ſedit, & non audienti ſimilis.
Neque enim cœleſtis lubens ſuam aurem accommodat
Inanibus verbis Pater, vanitatíque miſerandæ;
Nec unquam Immortalis vana-cogitantis audiit vocem,
Virum neque reſpexit, qui inania loquitur.
Etſi dixeris, Nuſquam ipſum ego poſſum coràm videre;
Facilè tamen innoteſcit Deus ſuis in operibus,
Veſtigia conſpicua, præfulgentes autem ejus *ſunt* radii:
Apud eum verò eſt juſtitia, apud *eum* judicium & jura:
Cui tu confiſus admodum pare, & te permitte.
Jam verò quoniam non ità fretus Deo eſt Jobus,
Is quidem iratus gravem illi intulit miſeriam;
At iſte vir dolore magno ſauciatus cor

Non

Οὐκ οἶδ', οὐδ' ἐνόησέ τι οἱ τόσον οἶτον ὀφέλλει,
Τόν τε κατ' αἶσαν ἔπαθε Θεοῦ ἰότητι μογήσας.
16 Τοὔνεκα λαβραγόρης τε ἀμετροεπής τε Ἴωβος,
Τοῦ καὶ ἀπὸ γλώσσης μάλα τηϋσίη ῥέεν αὐδή,
Πολλὰ μὲν ἐκπάγλως, ἀτὰρ οὐ πεπνυμένα βάζει.

ΚΕΦ. λϛʹ.

1 ὮΣ Ἔλιος μὲν ἔφη· τὸν δ' οὔτις ἀμείβετο μύθῳ·
Τοὔνεκα δ' αὖτις ἔνισπε, καὶ οὐκέτι λῆξ' ἀγορεύων.
2 Νῦν μ' ὀλίγον περ ἔα, σιγῇ ποτιδέγμενος ἧσο,
Καί τοι ἐγὼ μάλα πᾶσαν ἀληθείην καταλέξω,
Ὥς ἔτι μοι πλέον ἐστὶ Θεοῦ ἕνεκ' ἀντίον εἰπεῖν.
3 Τηλόθεν ἀρξάμενος πολυϊδρείην ἀποδείξω,
Τῷδε δικαιοσύνην τε καὶ εὐνομίην προσάψω,
Ὅς μ' ἄραρε φραδέως, εὖ εἰδὼς τεκτοσυνάων.
4 Ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός·
Αἰσχρὸν γὰρ ψεύδεσθαι ἐπιστάμενον σάφα εἰπεῖν.
Νημερτέως οὖν τοι μυθήσομαι, οὐδ' ἐπικεύσω.
Πὰρ δέ τοι ἱδρυύθη, ὃς γνώσιος ἄκρον ἵκανεν,
Ὅς τ' ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
5 Καρτερός ἐστι Θεός, τοῦ τε σθένος οὐκ ἀλαπαδνόν,
Ἀλλ' οὐκ ἠπεδανῆς ἀνδρῶν ἀμέλησε γενέθλης,
Οὐδὲ βροτοὺς ἀθέριζεν ἀκιδνοτάτους περ ἐόντας.
Ἦ μάλα καρτερός ἐστι, τίς οἱ μένος ἰσοφαρίζοι;
Ὡς πάντων πέρι τ' ἐστὶ βίην, πέρι τε φρένας ἐσθλάς,
Ἀμφότερον, βασιλεύς τ' ἀγαθός, κρατερός τ' αἰχμητής.
6 Τῶν δέ θ' ἁμαρτινόων, οἷς σχέτλια ἔργα μέμηλε,
Ζωὴν οὐκ ἐφύλαξε, καὶ οὐκ ἐσάωσεν ἀλιτρούς,
Αὐτοὶ γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
Πτωχοῦ λευγαλέου μάλα κήδεται, ἠδ' ἐλεαίρει,
Εὖ τε δίκην παρέχων, θυμαλγέα θ' ὕβριν ἀμύνων.
7 Οὔποτ' ἀπ' εὐσεβέων ἀγανὴν ἔτρεψεν ὀπωπήν,
Ὀφθαλμοὶ δ' ἑοί εἰσιν ἐπ' εὐνομίης θεράποντας,
Ἰθυνόνς

Non novit, neq; animadvertit, quid ſibi tantam calamitatem
Quam & meritò paſſus eſt Dei arbitrio tolerans. (auget,
Quocircà futilis & multiloquus *eſt* Jobus,
Cujus à lingua valde inanis fluit oratio;
Multa quidem ſtrenuè, ſed non prudentia dicit.

CAP. XXXVI.

SIc Elius fatus eſt; ei autem nemo reſpondit ſermonem:
Ideo rurſus inſit, & nondum deſtitit verbis.
Nunc me paululùm ſine, tacitè expectans ſede,
Et tibi ego valde omnem veritatem dicam; (geam,
Adeò adhuc mihi plus eſt quod Dei gratiâ ex-adverſo ur-
Longè exordium-ſumens multarum-rerum-peritiam de-
Ei autem juſtitiámq; & æquitatem aſcribam, (monſtrabo,
Qui me fabricavit ſapienter, peritus artifex.
Mentiar, aut verum dicam? movet verò me animus:
Turpe enim mentiri ſcienti vera dicere:
Vere igitur tibi loquar, neque occultabo.
Juxta te autem ſitus eſt, qui ad cognitionis apicem pervenit,
Quique novit præſentia, & futura, & præterita.
Fortis eſt Deus, ejúſque robur non debile,
At non infirmum hominum neglexit genus,
Neque mortales contempſit, impotentiſſimi licèt ſint.
Certè admodum fortis eſt; quis ei viribus æquiparetur?
Adeò omnes excellit potentiâ, mentéque ſanâ,
Utrumque, réxque bonus, validúſque bellator.
Peccatorum autem, quibus nefaria opera curæ-ſunt,
Vitam non ſervavit, & non ſalvavit tranſgreſſores;
Ipſi autem ſuis flagitiis perierunt.
Pauperis miſeri admodum curam gerit & miſeretur,
Benéque jus præbens, moleſtámque injuriam propulſans.
Nunquam à piis mitem avertit vultum,
Oculi autem ejus ſunt ſuper juſtitiæ aſſeclas,

Ἰθύνοντες τε καθεῖσαν ἐφ᾽ ὑψηλοῖσι θρόνοισι,
Τιμῆς ὄφρα λάχωσι μετ᾽ ἰφθίμων βασιλήων,
Ἔνθα σφεας ἵδρυσε διαμπερὲς, οἱ δέ τ᾽ ἄερθεν.
8 Εἰ δέ ποτ᾽ ἐν κλοιοῖς καὶ ἀλυκτοπέδῃσι δέδεντο,
Μόχθε τ᾽ ἀργαλέοιο περὶ σφίσι δέσματα κέχυντο·
9 Τόφρα δ᾽ ὅγε σφ᾽ ἀνέφηνεν, ἀειφραδέως τ᾽ ἀπέδειξεν,
Ὅσσα κακὰ ῥέζεσκον ἀταςθαλίῃσι νόοιο,
Ἄτην τε σφετέρην, καὶ ὑπερβασίην ἀλεγεινήν.
10 Οὔατα δέ σφ᾽ ἀνέῳγε, μαθήμασιν ὄφρα τάχιστα
Θεσπεσίοις πεπίθοιντο, καὶ οὐ ληθοίατ᾽ ἐφετμέων,
Θεῖεν δ᾽ ἀμπλακίης ἀπάτερθε παλίντροπον ἴχνος.
11 Εἰ μετόπισθε πίθωνται (ἐπεὶ πείθεσθαι ἄμεινον)
Ἀζόμενοι φρεσὶν ἦσαν ἐφημοσύνας τε καὶ αὐτόν·
Δὴ τότ᾽ ἀναπλήσουσι βίον, θαλίῃ ἐνὶ πολλῇ,
Χάρμασί τε γλυκεροῖσι κυλινδομένων ἐνιαυτῶν·
12 Εἰ δ᾽ ἔμπης ἀπίθησαν ἑῷ μενοεικέϊ θεσμῷ,
Φθῖσε σφεας ἄορ ὀξὺ, φίλον δέ τε θυμὸν ἀπηύρα,
Ἀχλειῶς δ᾽ ὀλέκοντο χαλιφροσύνῃσι νόοιο.
13 Οἱ δὲ δολοφρονέοντες ἀμήχανοι ἠδὲ ποτευταὶ
Μῆνιν νηήσαντο κακὴν ἐς μόρσιμον ἦμαρ·
Οὐδὲ γὰρ ἐκπέμπουσι λιτὰς εἰς οὐρανὸν εὐρὺν,
Εἴ γέ ποτ᾽ Ἀθάνατος χαλεπὸν σφισι δεσμὸν ἔθηκε.
14 Τῷ ἔτι προφθῆναι, πρὶν γήραος οὐδὸν ἱκέσθαι,
Δύστηνοι θανέουσι, μινυνθαδίως σφισι δ᾽ αἰὼν
Τήξεται ἐν πόρνοις καὶ ἐρωμανέεσσι κιναίδοις.
15 Πτωχοὺς ἐξανέλυσε δύης καὶ ὀϊζύος αἰνῆς,
Ἐν πάντεσσι πόνοισι παρισάμενός τε φύλαξεν·
Οὔατα δέ σφιν ἀνῷγε, βίην ὅτ᾽ ἐπῆλθε καὶ ὕβρεις.
16 Οὕτω καί κέ σε ῥεῖα μετήγαγεν ἐκ στεινωποῦ
Χῶρον ἐς εὐρύτερον, τοῦ οὐ στεινοῦσθαι ἔμελλες·
Καὶ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλες
Ἔσθων παλέης μελιηδέα δαῖτα τραπέζης.
17 Τοίην γὰρ προφρων ὀλοφώϊα δήνε᾽ ἀλειτέων
Μήδεά τ᾽ ἐκτέλεσας, τοῦ σ᾽ οὐ σόον ἔμμεναι οἴω,
Ἀλλά σε νῦν δεινὴ νέμεσις καὶ μοῖρα κιχάνει.
18 Αὐτὸς δὴ χόλος ἐστὶ, Θεοῦ δ᾽ ὑποπίζεο μῆνιν,

Rectæque-mentis-*viros* collocavit in excelſis thronis,
Honorem ut nanciſcantur cum validis regibus;
Ibi eos conſtituit perpetuò, ii verò exaltati ſunt. (rint,
Quòd ſi unquam in collaribus & compedibus vincti fue-
Ærumnæque moleſtæ iis vincula circumfuſa ſint:
Tum verò ille ipſis oſtendit, manifeſtóque declaravit,
Quanta mala patraverint improbitate mentis,
Culpámque ſuam, & tranſgreſſionem gravem.
Aures autem iis aperuit, documentis ut citiſſimè
Divinis obediant, & non obliviſcantur mandata,
Ponant autem ſeorſum à peccato retrogradum veſtigium.
Si poſtea obtemperent (quandoquidem obtemperare præ-
Reverentes animis ſuis præceptáque & ipſum ; (ſtat)
Tum verò exigent vitam, proſperitate immulta,
Gaudiiſque dulcibus volventibus annis:
Sin verò non obediant ejus placidæ legi,
Perdidit eos gladius acutus, charámque animam abſtulit,
Turpiter autem peribunt inſcitiâ mentis.
At doloſi verſuti hypocritæ
Iram accumulant malam in fatalem diem :
Neque enim emittunt preces ad cœlum amplum,
Siquando Immortalis grave iis vinculum imponit.
Quare adhuc pubeſ, priuſquam ſenectutis limen contin-
Infauſti morientur, breve autem eorum ævum (gant,
Conſumetur inter adulteros & amore-perditos cinædos.
Pauperes exolvit ærumnâ & calamitate ſævâ,
In omnibus laboribus præſenſq; ſervavit:
Aures autem iis aperuit, oppreſſio cùm venerit & injuria.
Ità etiam te facilè transferre-poteris ex anguſta-*via*
Locum in ampliorem, ubi non arctatus fores:
Et in eſcas paratas appoſitas manus extenderes
Edens pinguis ſuave convivium menſæ.
Tu autem promptè poſſideta conſilia peccatorum
Cogitationéſque perſecutus ; ideo te non ſalvum eſſe puto,
At te nunc terribilis Nemeſis, & Parca aſſequitur.
Gravis jam ira eſt, Dei autem vereare furorem,

Μή σε βάλῃ, ἀπὸ γὰρ μελιηδέα θυμὸν ἕληται·
Τόφρα μὲν οὐ πείσειε γε φέρων ἀπερείσι᾽ ἄποινα·
Οὐδ᾽ εἴ οἱ δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίης,
Ὅσσα τέ σοι πάρος ἔσκε, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
Ἀλλ᾽ οὐδ᾽ ὣς ἔτι θυμὸς ἑὸς πείσειας ἔμελλε,
Ψυχὴν τοι λῦσαι τε φίλην, τὰ τ᾽ ἄποινα δέχεσθαι.
19 Πάντα δ᾽ ἀπόβλητ᾽ ἐστὶ Θεῷ ἐρικυδέα δῶρα,
Ὅσσα κέ τις δῴη ψυχῆς ἔμεναι ἀλεωρήν.
Πλούτου οὐκ ἀλέγιζε, καὶ οὐκ ὄθετο χρυσοῖο·
Ἀλκή οἱ ἠδὲ βίη οὐδ᾽ ἐν λόγῳ οὐδ᾽ ἐν ἀριθμῷ·
Αὐτὸν γὰρ κρατερὸς πέλει πάντων ἐς ἀνθρώπων.
20 Οὔπω ἱμείρεο νυκτὸς, ὅτ᾽ αἰφνιδίῳ τινὶ πότμῳ
Λαοὶ ἀποφθινύθουσιν ἅμα σφετέρῳ ἐνὶ χώρῳ·
Οὐ γάρ τις θεόθεν φυγέει κακὸν, οὐδ᾽ ἀνὰ νύκτα.
21 Ἀμπλακίην ἀλέεινε, φυλάσσεο, μηδ᾽ ἀλίτημα
Ἐν θυμῷ φράζοιο· τὸ γάρ ῥ᾽ οἴτου προβέβουλας.
22 Ῥεῖα δ᾽ ἀείροντος Θεοῦ ἀνδράσι γίνεται ἀλκή,
Οἷσίν τ᾽ ἤθελε κῦδος ὑπέρτερον ἐγγυαλίξαι.
Τίς κεν ἀλεξίκακον βουλὴν, ὡς αὐτὸς, ὑφαίνοι;
Τίς κέν οἱ ἰδρείην τε διδάσκαλος ἰσοφαρίζοι;
23 Ἢ τίς οἱ, ἠΰτε ποιμὴν, ἑὴν ἐπέδειξεν ἀταρπόν;
Ἢ τίς ἀνὴρ πρὸ μὲν ἦλθε, Θεὸς γὰρ μετ᾽ ἴχνια βαῖνε;
Τίς κέν οἱ ἔργον ὄνοιτο, λέγων, Ὡς αἴσυλα ῥέζεις;
24 Ἀλλὰ σὺ μήποτε λήθου ἀγάασθαι τὰ ἃ ἔργα,
Καὶ μεγαλιζέμεναι, τά περ ἀνέρες αἰὲν ὁρῶντο·
25 Πᾶσι γὰρ ἐς ἀείδελα· τίς ἂν βροτὸς ἀγνοιάσῃσι;
Ῥεῖα δ᾽ ἀνὴρ ἐθέλων κε διαμπερὲς ἀθρήσειεν,
Οὗ τε καὶ ἀμβλύτατον κεφαλῆς ἐνδέρκεται ὄσσε.
26 Παμμεγέθης ὁ μέν ἐστι, καὶ ἡμεῖς οὔτι μὲν ἴδμεν
Οἷος καὶ ὅσος ἔπλετ᾽, ὁμῶς ἠΰς τε μέγας τε·
Ἀργαλέος γάρ τ᾽ ἐστὶ Θεὸς βροτῷ ἀνδρὶ δαῆναι.
Ἀφθιτός οἱ ζωὴ, ἐτέων δέ τις οἶδεν ἀριθμόν;
27 Λεπτοτάτας μὲν πρῶκας εὐρραθάμιγγος ἀέρσεις,
Ὑδατοέσσας τε ψιάδας κατέχευεν ἔραζε.
Αἰθὴρ δ᾽ οὐκ ἀχάρις, ἐπεὶ πίεν ἰκμάδα γαίης,
Αὖθις ἀναρροιβδεῖ, πίων ἐπιεικέ᾽ ἀμοιβήν,

Ὑετὸν

Nè te percutiat, & dulcem vitam abripiat:
Tum eum non flectes ferens licèt infinita dona;
Neque ſi ei decies ac vicies totidem dares
Quot tibi antea fuerunt, & ſi alicunde alia acceſſerint.
At nec dum ità futurum eſt, ut animus ejus perſuadeatur
Animam tibi liberare charam, & redemptionis-pretium acci- (pere.
Omnia autem rejectanea ſunt Deo inſignia dona,
Quæcunque quis dederit animæ eſſe refugium.
Divitias non æſtimavit, neque curavit aurum:
Robur ei & vires neque in ratione neque in numero *ſunt*;
Valde enim fortis præ omnibus eſt hominibus.
Nondum deſidera noctem, quando repentino quodam in- (teritu
Populi diſpereunt ſimul ſuo in loco;
Nec enim quis divinitus-*miſſum* fugiet malum, neq; per no- (ctem.
Delictum fuge, cave, nec peccatum
In animo cogita; hoc enim miſeriæ prætuliſti.
Facilè autem notum Dei hominibus fit robur,
Quibus velit gloriam præſtantiorem præbere.
Quis ſalutare conſilium, ſicut ille, texere-queat?
Quis eo ſcientiâ doctor *ſe*-conferre-audeat?
Aut quis ei, velut dux-itineris, ſuam monſtraverit viam?
Aut quis homo præivit, Deus autem veſtigia *ejus* ſecutus eſt?
Quis ejus opus reprehendat, dicens, Quàm iniquè facis?
At tu nunquam obliviſcere admirari ejus opera,
Atque magnificare, quæ homines ſemper vident:
Omnibus enim ſunt manifeſta; quis mortalis ignoraverit?
Facilè enim vir, ſi velit, ad diſtantiam intueatur,
Cujus vel obtuſiſſimè ex capite cernunt oculi.
Permagnus hic eſt, & nos neutiquam eum ſcimus,
Qualis & quantus eſt, pariter bonúſque magnúſque:
Difficilis enim eſt Deus mortali homini cognitu.
Incorruptibilis ei vita, annorum verò *ejus* quis novit nu- (merum?
Minutiſſimas guttulas bene-ſtillantis roris,
Aqueáſque guttas deſudit in terram.
Aër verò non ingratus, poſtquam bibit humorem terræ,
Iterum regerit, rependens decentem compenſationem,

 Pluviámque

Ὑετὸν ἄψ τε διδοῖ, προγόνου ἀντάξιον ἀτμοῦ,
Ὑγροῦ ἀποβλύζων, τό τε πρὶν χθονὸς ἐκμύζησι.
28 Τίκτεται ἠελίῳ νέφος ἔγκυον, αἶψα δ᾽ ἐπ᾽ ἄνδρας
Ταρφειὰς ῥανίδας, καὶ λαβρόπτωτον χέει ὕδωρ.
29 Τίς κ᾽ ἔργον ξυνίῃ νεφεληγερέταο ἄνακτος,
Οἷσι νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν,
Ὡς ἰσφέλλην ἐπέτασσεν ἐπ᾽ αἰθέρος ἠΰτε πάντῃ
Αὐτοῦ ἐνὶ κλισίῃ, μέγα δ᾽ ἐσμαράγησεν Ὄλυμπος;
30 Ἄλλοτε μὲν σκιόεις πέλεν οὐρανὸς, ἄλλοτε δ᾽ αἴθρῃ
Πέπταται ἀννέφελος, λευκὴ δ᾽ ἐπιδέδρομεν αἴγλη·
Ἄλλοτε κυανέῃ νεφέλῃ ἐκάλυψε θαλάσσης
Βένθεα καὶ ῥίζας, ἤχλυσε δὲ πόντος ὑπ᾽ αὐτῆς.
31 Πολλάκι γάρ τ᾽ εἴωθε Πατὴρ πυκινοῖσι νέφεσσιν
Ἀνθρώποις τίσασθαι ὑπερβασίης ἀλεγεινῆς,
Ἤματ᾽ ὀπωρινῷ, ὅτ᾽ ἐπιβείσῃ μέγας ὄμβρος
Λαίλαπι θεσπεσίῃ, μινύθει δέ τε ἔργ᾽ ἀνθρώπων·
Πολλάκι δ᾽ αὖ νέφεσι θρεψίνοα σῖτον ὀφέλλει·
Ὄρεα γὰρ ἀρδμοί εἰσι διὰ ψεκάδων ἀδινάων
Κοίλης ἐκ νεφέλης αἰεὶ νέον ἐρχομενάων,
Οὐρανόθεν δὲ πέπωται ἐπ᾽ ἄνθεσιν εἰαρινοῖσιν,
Αἱ μέν τ᾽ ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθεν·
Τόσσα μάλ᾽ εὐθενίῃ μέλλει μετόπισθε γενέσθαι
Καρπῶν παντοίων, μέγα δὲ βεβρίθασιν ἀλωαί.
32 Πορφυρέῃς νεφέλῃσιν Ὄλυμπος ἀμφεκάλυψεν
Ἠελίοιο δέμας, περί τ᾽ ἀχλυόεσσαν ὀμίχλην
Ἕσσε μιν, ἠΰτε λεπτὸν ἐΰννητόν τε χιτῶνα,
Καί τ᾽ ἀνέδυσε φάειν, νέφεός μιν ἐπερχομένοιο·
33 Τοῦ καὶ ῥησσομένοιο καὶ ἀλλομένοιο κεραυνοῦ
Κλαγγὴ ἀπειλὸς ὦρτο, μέμυκεν δ᾽ οὐρανὸς εὐρύς·
Κτύποι δ᾽ ἀγγέλλουσιν ὁμοφθόγγῳ τινὶ φωνῇ
Ἀτμὸν, τὸν νοέουσι δι᾽ ἠέρος ὕψι κιόντα.

ΚΕΦ. λζ´.

Pluviámque viciſſim dat, progenitore condignam vapore,
Humidum rejectans, quod priùs è terra ſuxit.
Diſſolvitur ſole nubes gravida, mox autem ſuper homines
Crebra ſtillicidia, & abundantem fundit aquam.
Quis opus intelligat nubium-congregatoris regis,
Qualibus nubibus cingit cœlum latum,
Quemadmodum nebulam expandit ſuper aërem tanquam ta-
Suo in tentorio, valde autem remugit Olympus? (petem
Modò caliginoſum eſt cœlum, modò ſerenitas
Panditur abſq;-nube, candidus autem circumfulget ſplendor:
Interdum cæruleâ nube obtexit maris
Profunda & radices, obſcuratus autem pontus eſt ſub ipſa.
Sæpe enim ſolet Pater denſis nubibus
Homines punire ob transgreſſionem gravem,
Die autumnali, cùm ingruit magnus imber
Turbine ingenti, minuuntur autem opera hominum:
Sæpe autem viciſſim nubibus viros-alentem cibum auget:
Quando enim irrigationes ſunt per guttas frequentes
Cava ex nube ſemper recèns venientes,
Cœlitus autem volant ſuper floribus vernis,
Et aliæ hàc confertim volant, aliæ illàc,
Tum admodum abundantia poſtmodum futura eſt
Fructuum omnigenorum, affatim autem onuſta-ſunt arva.
Obſcuris nebulis Olympius circuntexit
Solis corpus, atrámque caliginem
Induit illi, quaſi tenuem & bene-netam tunicam,
Et prohibuit lucere, nube illi ſuperveniente:
Quâ etiam ruptâ, & exiliente fulmine,
Fragor ingens oritur, reboat verò cœlum amplum;
Jumenta autem nunciant unanimi quàdam voce
Vaporem, quem ſentiunt per aërem ſurſum vadentem.

ΚΕΦ. λζ'.

1 Τοῦτο δέ μοι καὶ θυμὸν ἐνὶ στήθεσσιν ἄτυξε,
Πάλλετο δ' ἡ κραδίη, τρομέοντο δέ μοι φρένες ἐντός·
Ὡς δ' ὅτε κινήσῃ ζέφυρος βαθὺ λήϊον ἐλθὼν
Λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσιν·
Ὡς μοι ἐκινήθη κραδίη φρεσὶ πορφύρουσα.
2 Ἀλλ' ἄγετε, ξύνετ' αὖτε Θεοῦ ὄπα φωνήσαντος,
Ὑμέων οὔατα βάλλοι ἐὴ παταγοδρόμος ἠχὴ,
Ἥ τε οἱ ἐκ λαιμοῖο πολυσμάραγος ῥέεν αὐδή.
3 Τὴν μὲν ὅλου ἴθυνεν ὑπ' οὐρανοῦ, ἀστεροπὴν δὲ
Χειρὶ λαβὼν ἐπίαξεν ἀπ' αἰγλήεντος Ὀλύμπου·
Ἡ δέ τ' ἀκοντισθεῖσα Θεοῦ ταχυδινέϊ παλάμῃ
Φρικτῇς μαρμαρυγῇσιν ἀεὶ στίλβουσα ποτᾶται
Ῥίμφα μάλ' ἀΐσσουσα δι' αἰθέρος, αἶψα δ' ἱκάνει
Γαῖαν ἀπειρεσίην, τρομέει δέ τε φῦλ' ἀνθρώπων.
4 Εἶτά τις οὐρανόθεν φωνὴ βρέμετ', αὐτὰρ ὑπ' αὐτῆς
Κόσμος ὅλος σμαράγησε, βοὴ δ' ἄσβεστος ὀρώρει.
Ἔνθ' Ὑψιβρεμέτης μεγάλ' ἔκτυπεν, ἀμφὶ δ' Ὄλυμπος
Σμερδαλέον κονάβιζε, μέμυκεν δ' ἄσπετος αἰθήρ,
Σάλπιγξεν δ' ὅλος οὐράνιον, βράχε δ' εὐρεῖα χθών,
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς.
5 Δεινὸν δ' ἐβρόντησε Πατὴρ ῥηξήνορι φωνῇ,
Βροντήσας δ' ἄρα δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν,
Δεινὸς δὲ κτύπος ὦρτο κεραυνοῦ παλλομένοιο.
Ὡς μεγάλ' αὐτὸς ἔρεξε, τά τ' οὐ δυνάμεσθα νοῆσαι.
6 Ὅς τ' εἶπεν νιφετῷ, Χαμάδις ῥέε, δεῦε δὲ γαῖαν,
Βάλλ' ἴθι, μηκέτι μίμν' ἀνεμώλιος ἐν νεφέλῃσιν.
Ὡς ἔφατ'· ἔδδεισεν δὲ χθὼν, καὶ ἐπείθετο μύθῳ.
Αὐτίκα ταρφειαὶ νιφάδες πίπτουσιν ἔραζε,
Εἴρεα θ' οἷα κέχυνται ἐπὶ ζείδωρον ἄρουραν,
Ἡ δέ τ' ἰαίνετο γῆ λευκῷ γανόωσα χιτῶνι.
Ὡς δ' αὔτως ἐπέτελλε Πατὴρ ὑετῷ τε καὶ ὄμβρῳ,
Οἱ δ' αἶψα προρέουσιν ἐὴν τρομέοντες ὁμοκλήν.

7 Ἔνθα

CAP. XXXVII.

HOc etiam mihi animum in pectoribus percellit,
Quaſſatur verò cor, tremunt autem mihi præcordia in-(tus:
Sicut cùm moverit zephyrus altam ſegetem veniens
Vehemens irrumpens, *illa* ingruit ſpicis;
Sic mihi movetur cor *in* mente fluctuans.
Verùm agitè, percipite ocyùs Dei vocem loquentis,
Veſtras aures feriat ejus cum-ſtrepitu-currens ſonus,
Quæque ei ex ore grandiſona fluit vox.
Illam toto direxit ſub cœlo, fulgur verò
Manu accipiens concuſſit à ſplendido Olympo,
Illud autem intortum Dei celeriter-volubili vibratione
Horrendis radiis uſquè coruſcans volat
Perniciter admodum ruens per aerem, ſtatim autem pervenit
Ad terram immenſam, tremunt autem gentes hominum.
Deinde quædam de-cœlo vox fremit, at illâ
Mundus totus perſtrepit, fragor verò ingens excitatur.
Tum Altitonans immanè ſonuit, undique autem Olympus
Horrendùm crepuit, remugiit autem immenſus æther,
Reſonuit verò ſedes cœleſtis, inſonuitque lata tellus,
Timuit autem ſubtus rex inferorum Lucifer.
Horrendùm autem intonuit Pater ſtrenuâ voce,
Tonans autem horrendùm, demiſit candens fulmen;
Terribilis verò fragor ortus eſt fulmine vibrato.
Adeò magna ipſe fecit, quæque non poſſumus intelligere.
Qui dixit nivi, In-terram deflue, riga autem ſolum,
Vade agè, nec ampliùs mane irrita in nubibus.
Sic dixit; timuit verò nix, & paruit dicto.
Statim crebræ nives cadunt in-terram,
Lanæque inſtar funduntur ſuper fertilem tellurem,
Terra autem exhilaratur niveâ reſplendens veſte.
Similiter mandavit Pater pluviæque & imbri,
Hi autem confeſtim fluunt ejus metuentes increpationem.

Tum

7 Ἔνθα πάνυ κατέπαυσε, καὶ ἐσσυμένοισί περ ἔργων
Χεῖρας ἐρυκακέων, καμάτοιο δὲ γίνετ' ἐρωή·
Ὄφρ' εὖ εἰδῶσιν δειλοὶ βροτοὶ οἷα ἔοργεν.
8 Ἤματι τῷ χθονίοις ὑπὸ κεύθεσιν εὐνάζοντο
Θῆρες, καὶ σπήεσσιν ἐνὶ γλαφυροῖσιν ἔμιμνον.
9 Ἐκ νότου ἀργέσταο πολύστροφος ὤρνυτ' ἀέλλη,
Πνοιῇ ἅμα λιγυρῇ ζαδινέα βόμβον ἰεῖσα,
Λαίλαπι μαστίζουσα κονίσαλον ἀμφὶ κελεύθους·
Ἥ τε καθαλλομένη ἰσοειδέα πόντον ὀρίνει,
Πολλὸν δὲ πρόφι κῦμα κυλίνδεται, ὑψόσε δ' ἄχνη
Σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς.
Ψῦχος ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο
Γίνεθ', ὅ, τε κρυεροῖσιν ἀεὶ χθόνα τύψεν ἀήταις.
10 Πηγυλὶς ὀκρυόεσσα δι' ἄσθματος ἵκε Θεοῖο,
Αἶψα δὲ κῦμα πέπηγεν ἐϋρρεῖος ποταμοῖο
Στεινόμενον, λιαρὸς δὲ θ' ὑπερκέχυτο κρύσταλλος.
11 Τρύχει δ' ἀρδμοῖσιν πυκινὸν νέφος, ἤχθετο δ' αὐτὸ
Τειρόμενον, βρίθει δ' ὑδάτων ἐγκύμονι κόλπῳ.
Ἄλλοτε δ' αὖ ἐκέδασσεν ἐπὶ χθόνα πουλυβότειραν
Μαρμαρυγὰς νεφέων, ἠδὲ ψολόεντα βέλεμνα.
12 Δινήθη τάδε πάντα Θεοῦ μεγάλοιο ἕκητι,
Ἀμφί τε γῆν ἐλέλικτο διηνεκέϊ στροφάλιγγι,
Βουλὴν δ', ἣν σφ' ἐπέτελλε, κατὰ χθόνα καὶ κατὰ κόσμον
Ἐμμαπέως ἐτέλεσσεν, ἐφ' ᾧ τ' ἐπεπείθετο μύθῳ.
13 Εἴτ' ἄρα δυσσεβέας κρατερῇ μάστιγι δαΐξῃ,
Εἴτ' ὄμβροισι δίηνῃ ἑὴν πολυκαρπέα γαῖαν
Ἵλαος, εὐσεβέεσσί τ' ἐνὶ φρεσὶ θυμὸν ἰάνῃ.
14 Κέκλυθι νῦν μευ, Ἰώβε, καὶ ἀτρέμας ἧσο μένων δὲ
Θάμβεο καὶ σίγα, τά τε θαύματα σιγαλόεντα
Ἔργα τ' ἀγαστὰ Θεοῖο τεῷ ἐνικάτθεο θυμῷ.
15 Οἶσθά γ' ὅπως ἔστησε Θεὸς νέφεα σκιόεντα,
Αἶψ δὲ φόως ἀνέτειλε καθαιθερίων νεφελάων;
16 Οἶσθά γ' ὅπως ἄρα ταὶ ἰσόρροποι ὕψι κρέμανται,
Ὄμβροις ὑπὸ βαρέεσι καὶ ὕδασι βεβριθυῖαι;
Οἷά τε θαύματα ῥέζει, ὃς φρένας ἄρτιαι εἰσίν,
Ἀκρότατός τε νόος πάντων πέρι μήδεα εἰδώς;

17 Παῖς

Tum à labore quieſcere-fecit, quantumvis feſtinantibus (ad opera
Manus coercens, laboris autem fit ceſſatio;
Ut bene ſciant miſeri mortales quale fecit.
Die illo ſubterraneis cavernis cubant
Feræ, & ſpeluncis in cavis manent.
Ex noto celeri verſatilis oritur procella,
Flatu cum ſonoro divinitus-motum ſibilum emittens,
Turbine flagellans pulverem circa vias:
Quæ & deſiliens purpureum mare commovet,
Multus autem tumidus fluctus volvitur, in-altum verò ſpuma
Spargitur venti vago fluctu.
Frigus ab impetu ſerenitatem-parientis boreæ
Fit, qui gelidis ſemper terram verberat flatibus.
Gelu horridum per ſpiraculum venit Dei,
Statim verò fluctus concreſcit bene-fluentis fluminis
Arctatus, lævis autem ſuperfunditur glacies.
Fatigat irrigationibus denſam nubem, premitur verò illa
Laſſata, onuſtáque eſt aquis gravido ſinu.
Interdum autem diſperſit in terram almam
Coruſcationes nubium, & ardentia tela.
Circumaguntur iſta omnia Dei magni voluntate,
Circáque terram gyrantur perpetuâ vertigine;
Conſilium autẽ, quod ipſis mandat, per terram & per orbem
Dicto-citiùs perficiunt, ejúſque obtemperant verbo:
Sive impios duro flagello perſequatur;
Sive imbribus humectet ſuam aridam terram
Propitius, piíſque in pectore animum lætificet.
Audi ergò me, Jobe, & quietè ſede pauliſper
In ſtupore & ſilentio, & miracula ſtupenda
Operáque admirabilia Dei tuo repone animo.
Nôſtin' quomodo ſtatuit Deus nubes opacas,
Rurſum autem lucem oſtendit diſperſis nubibus?
Nôſti quo pacto illæ æquilibres in-ſublimi pendent,
Imbribus licèt gravibus & aquis onuſtæ?
Qualiáque mirabilia facit, cujus mens perfecta eſt,
Summíſque intellectus ſupra omnes conſiliis pollens?

Quomodo

17 Πῶς ὑπεξηερμάνθη τὰ σὰ εἵματα, θάλπετο δὲ χθὼν,
Ἀτρέμας ὄφρ' εὔδεσκε μένος βορέαο καὶ ἄλλων
Ζαχρειῶν ἀνέμων, ὅτι μὴ λιαροῖο νότοιο,
Τοὺς γὰρ Θεὸς πνοιὴν μαλακὴν προέηκεν ἄηναι;
18 Ἦ ῥα σὺ αἰθέρα δῖον ἅμ' αὐτῷ ἐξετάνυσσας;
Οὐρανὸν ἢ πολύχαλκον ὑπὲρ χθονὸς ἐξεπέτασσας,
Στιλπνὸς ὅ, τε στιβαρός τε πέλει χυτὸν εἶα κάτοπτρον;
19 Ἀλλὰ σὺ νῦν ἡμῖν ὑπόθευ, καὶ μῦθον ὄπαζε,
Οὐ γάρ πω σάφα ἴδμεν ὅπως ἀπαμειψόμεθ' αὐτόν·
Τόσση ἡμετέροισιν ἐνὶ στήθεσσιν ὁμίχλη.
20 Τίς νύ κέν οἱ δείξειεν ἐμὸν λόγον; αἴκέ τις εἴπῃ,
Οἷά τε μαρμαρυγὴ ζαθέης ἐ λαφύξει ὀπωπῆς.
21 Φέγγος ὕπαι νεφέων οὐκ ἂν βροτὸς ἀθρήσειεν,
Οὗ τε καὶ ὀξύτατον κεφαλῆς ἐνδέρκεται ὄσσε.
Ἀλλ' ἄνεμος ζαὴς νέφεα σκιόεντα δονήσας
Θῦεν μάστιγι λιγυρῇ, ἐκάθηρε δ' Ὄλυμπον,
Αὐτίκα δ' ἠέρα μὲν σκέδασεν, καὶ ἀπῶσεν ὁμίχλην·
Ἔκ τ' ἔφανον πᾶσαι σκοπιαὶ, καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ.
22 Αἴθρη ἐκ βορέαο φαεινοτέρη χρυσοῖο
Πέπταται ἀννέφελος, λευκὴ δ' ἄλαδ' ἦλθε γαλήνη.
Τοῦ καὶ ὑπὸ ῥιπῆς μείδησεν ἀθέσφατος αἰθὴρ
Στίλβων ἀγλαΐῃφι, γέλασσε δὲ πᾶσα περὶ χθὼν
Αἴγλῃ λαμπετόωσα, γέγηθε δέ τε φρένα ποιμήν.
Ὡς οὖν σμερδαλέον Πανυπερτάτου ἔπλετο κῦδος,
Τοῦ μὲν λαμπρότατόν τε φάος, καὶ δεινὰ πρόσωπα;
23 Εὑρεῖν κ' δυνάμεσθα Θεοῦ φύσιν αἰὲν ἐόντος,
Καὶ μάλα περ σπουδῇ διζήμενοι εἰρόμενοί τε·
Ὅς τ' ἐκέκασσο βίηφι, καὶ οἱ κράτος οὐκ ἐπιεικτόν,
Ὅς πάντων πέρι τ' εὐνομίην, πέρι τ' οἶδε θέμιστας,
Εὐδικίην τε νόοιο, καὶ οὐδέ ποτ' ἄνδρα χαλέπτειν
Ἤθελ' ὑπερφιάλους, ὡς ὑβριστῆρες ἀγανοὶ,
Οἵ τ' ἄλλους τεύχουσι βίῃ ὑπερηνορέοντες.
24 Τοὔνεκά μιν τρομέουσιν ἐπιχθόνιοι ἄνθρωποι,
Ἀζόμενοι Βασιλῆα, τῷ οὐ φρόνις [illegible] ἀνδρῶν,
Οὐδέ τιν' αἰδεῖται πυκινὰ φρεσὶ μήδε' ἔχοντα.

Quomodo tepefiunt tuæ veſtes, fovetur autem tellus,
Quietè quamdiu dormit vis boreæ & aliorum
Vehementium ventorum, præter tepidum notum,
Ejus autem Deus flatum mollem immiſit ut ſpiret ?
Nunquid tu ætherem divinum unà cum illo extendiſti ?
Cœlum aut ſolidum ſuper terram expandiſti,
Quod ſplendidum ſimul firmúmq; eſt, fuſile tanquam ſpe-(culum ?
At tu jam nobis ſuggere, & ſermonem præbe,
Non enim certè ſcimus quomodo reſpondebimus illi;
Tanta noſtris in pectoribus caligo.
Quis ei oſtendat meam orationem? ſi quis loquatur,
Fulgor quodammodo divinæ eum abſorbebit faciei.
Lucem ſub nubibus mortalis videre nequit,
Cujus vel acutiſſimè ex capite cernunt oculi.
At ventus vehemens nubes atras agitans
Impetuoſè ruit cum flagello ſtridulo, purgavit autem Olym-(pum,
Illico autem caliginem diſperſit & amovit nebulam;
Apparéntque omnes ſpeculæ & vertices prominentes,
Et ſaltus, cœlitúsque erumpit ingens ſudum.
Serenitas ex aquilone ſplendidior auro
Expanditur ſine nube, lucidáque ad mare venit tranquillitas
Cujus etiam ex flatu ſubridet ingens æther
Coruſcans ſplendore, ridet verò omnis circùm terra
Candore fulgens, gaudet autem in animo paſtor.
Quàm ergò horrenda Supremi omnium eſt gloria,
Cujus certè clariſſimúmque lumen, & terribilis vultus!
Invenire non poſſumus Dei naturam ſemper exiſtentis,
Quantumvis diligenter inquirentes perſcrutantéſque;
Qui inſtructus eſt viribus, & ei robur invictum,
Qui omnes æquitate tranſcendit, & jure,
Juſtitiâque mentis, & nunquam hominem deprimere
Vult iniquè, ſicut oppreſſores inſolentes,
Qui alios affligunt vi ſuperbientes.
Idcirco ipſum metuunt terreſtres homines,
Venerantes Regem, cui ſapientia non placuit virorum,
Nec quenquã reveretur prudentia mente conſilia agitantem.

CAP.

ΚΕΦ. λη'.

1 ὩΣ φάτ' ἀπηλεγέως· ἄνεῳ δ' ἔσησαν ἑταῖροι
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν.
Ἀλλὰ καὶ αὐτὸς ἔπειτα Θεὸς προσέειπεν Ἰωβον
Μεσσόθεν ἐκ στροβίλοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον·
2 Τίς ῥ' ὅγε κλέψας μῆτιν ἀϊδρείῃσι νόοιο
Νήπιος, οὐδέ τ' ἐπιστάμενος φρεσὶν ἄρτια βάζειν;
Οὐ γὰρ καλὸν ἔειπε· δοκεῖ ἄρα μοι ἀπινύσσειν.
Δαιμόνι', ἦ χαλεπόν σε Θεοῦ αἰειγενέταο
Δήνεα ἐρευνᾷν, μάλα περ πολυΐδριν ἐόντα.
3 Ἀλλ' ἄγε νῦν, θάρσει, περὶ δὲ ζώνην βαλὲ ἰξύϊ,
Ἀνὴρ ἴσθι, φίλε, μνήσαιο δὲ θούριδος ἀλκῆς.
Εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς,
Θυμὸς ἐπεί σε ἀνῆκε Θεῷ ἔειδα προφέρεσθαι.
4 Εἰπέ μοι, εἰ ξυνίεις, Ποῦ ἔπλεο, ὁππότ' ἔγωγε
Καββαλόμην στερεῆς ἀπέραντα θεμείλια γαίης;
5 Τίς δ' ἔο θῆκεν ὅρους; τίς σχοίνῳ (εἰ τό περ οἶσθα)
Αὐτὴν μέτρησεν, καὶ ἐπὶ σταθμὴν ἴθυνεν
Εὖ καὶ ἐπισταμένως; ἢ δὲ κρύματ' ἰσοτάλαντος
Βελτοσύνῃσιν ἔησι, καὶ οὐ ῥέπει ἔνθα καὶ ἔνθα.
6 Πῶς ἔο κρηπῖδες βεβολήατο; τίς τε κατ' ἀρχὰς
Πρῶτον λᾶαν ἔθηκε, καὶ ἐρρίζωσεν ἔνερθεν;
7 Ὁππότε θεσπεσίῃσιν ὁμοῦ κελάδησαν ἀοιδῇς
Φωσφόροι, οἱ κάλλιστοι ἐν οὐρανῷ ἀστέρες εἰσί·
Σύμπαντες δὲ Θεοῦ κόροι ἐκπάγλως ἀλάλαξαν,
Χάρμῃ γηθόσυνοι, σφέτερον πατέρ' ὑμνεύοντες,
Ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανὸς, οἱ δ' ἐπάκουσαν.
8 Ἢ τίς ἀμαιμάκετον πέλαγος περιεῖρξε θύρῃσιν,
Ὄφρ' ἔτι γ' ἔμβρυον ἦεν, ὑποχθονίων δ' ἀπὸ κόλπων
Ἀμβολάδην ἀνέβλυζε, καὶ ὡς ἐκ γαστρὸς ὄρουσε·
Δεινὸς δὲ φλοῖσβος πόντοιο βρυχωμένοιο
Σμερδαλέος τ' ὤρωρε νεηγενέος περ ἐόντος;
9 Ἀμφί μιν, ὡς χλαῖναν, νεφέλην βάλον, ἠδὲ χιτῶνα
Σπάργανον ὡς αὐτῷ τὴν κυανόπεπλος ὀμίχλην.

10 Εἰπὰ

CAP. XXXVIII.

SIc dixit intrepidè; taciti autem ſteterunt ſocii
Sermonem mirati: admodum enim ſtrenuè fatus erat.
Verùm & ipſe deinde Deus affatus eſt Jobum
Turbine de medio, & magnum quaſſavit Olympum:
Quis ille *eſt* qui abſcondit conſilium imperitiâ mentis
Inſipiens, neſciúſque in animo ſana dicere?
Non enim rectè dixit: videtur utique mihi imprudens-eſſe.
Infelix, certè difficile *eſt* tibi Dei æterni
Conſilia ſcrutari, valde licèt multarum-rerum-peritus fueris.
Quin agè nunc, bono-animo-ſis, zonâ autē cinge lumbos,
Vir eſto, amice, memineris autem ſtrenuæ virtutis.
Dic mihi interroganti vera, neque occultes,
Animus quandoquidem te compulit Deo litem offerre.
Dic mihi, ſi intelligas, Ubi eras, quando ego
Jeci ſtabilis inconcuſſa fundamenta terræ?
Quis ejus poſuit terminos? quis fune (ſi id ſaltem nôſti)
Ipſam menſuravit, & ad perpendiculum direxit
Bene & ſapienter? ea autem pendet æquilibris
Ponderibus ſuis, & non vergit huc & illuc.
Quomodo ejus baſes jactæ ſunt? quis in principio
Primum lapidem poſuit, & radicavit infernè?
Quando divinis ſimul ſonuerunt cantilenis
Phoſphori, qui pulcherrimæ in cœlo ſtellæ ſunt;
Unáque omnes Dei filii mirificè jubilârunt
Gaudio læti, ſuum patrem hymno-celebrantes,
Circùm autem reſonuit magnum cœlum, hi .v. accinuerunt.
Aut quis indomitum pelagus circumclauſit oſtiis,
Cùm adhuc embryo fuit, ſubterraneis autem à cavitatibus
Ferventer ebullit, & velut ex utero erupit:
Horrendus autem ſonitus ponti efferveſcentis
Terribiliſque excitatus eſt quantumvis recens-nati?
Ei quaſi pallium nubem indui, & tunicam;
Velut faſciæ ei erat atrata caligo.

Deinde

10 Ἑπτὰ μὲν, ὡς προὔειπα, πύλαι καὶ ὀχῆες ἔδησαν,
Ἀκταί τε προβλῆτες ἐεργμέναι, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λευκὴ δ' ἀναδέδρομε πέτρη.
Καὶ μάλα περ πάφλαζεν ὕδωρ, μόρμυρε δὲ πόντος
Αἰγιαλῷ μεγάλῳ πεπεδημένος, ὃς δὲ καὶ αὐτὸν
Ἰσχανάα, τῷ οὐ πρόσσω ῥέειν ἱέμενός περ.
11 Ὡς γὰρ ἐγὼ ἐπέτελλον, ὁμοκλήσας τε προσηύδων,
Ὠκεάν', ἴσχε μένος, τί δὲ μαίνεαι οὐκέτ' ἀνεκτῶς;
Δεῦρ' ἄγ' ἰὼν, πολύφλοισβε, καὶ οὐ τάδε τέρματα πεῖρε,
Ἔνθα μάλ' ἴσχε ῥοὴν, ὑπέρογκα δὲ κύματα παῦε·
Εἰ δέ σ' ἐγὼ τηνδ' οὖρον ὑπερβαίνοντα κιχείω
Κύματι θαρσαλέῳ, τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
Ὡς ἐφάμην· ὁ δὲ παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα.
12 Ἦ σύ ποτ' ἀντολίην τάξας, λυκόφως τε κέλευσας
Γινώσκειν ὃν χῶρον ὁμοῦ καιρόν τε φυλάσσειν;
Ἠῶ τε κροκόπεπλον ἀπ' οὐρανόθεν προέηκας,
13 Ὄφρα κε τηλεδαποῖς ὀπιφαύσκῃ πείρασι γαίης,
Ὡς ἂν φραδμοσύνῃσι τεῇς ἀποφαινομενάων
Ἀμπλακιῶν, νώνυμνοι ἀτασθαλίης θεράποντες
Προύχου κακῶς ἀπολοίατ' ἀπὸ χθονὸς εὐρυοδείης;
14 Ἦ τ' ἐπεὶ οὖν νυκτὸς νεφέλην ἀπέλυσε μέλαιναν,
Αὐτίκα παντοίη μὲν ἐγίγνετο, θαῦμα ἰδέσθαι,
Παντοδαπῆς χροιῇσι καὶ εἴδεσι μειδιόωσα
Ἀγλαομόρφοισιν, πολυποίκιλος, ἠΰτε πηλὸς,
Ὃν κεραμεὺς δαιδάλλεν ἰδυίῃσι πραπίδεσσι·
Καλοὶ δὲ λειμῶνες ἄλλην γλόασι, φορεῦντες
Χλαῖναν πορφυρέην τε καὶ ἀνθεμόεντα χιτῶνα.
15 Ἔνθ' ἀνδρῶν ὕβρεις καὶ λοίγια ἔργα πέφανται.
Ὡς γὰρ ἐμεῦ ἰότητι ἀπὸ γλυκὺ φέγγος ὄλωλε
Δυσσεβέσι, στιβαρὸς τ' ἄγη ἐξ ὤμοιο βραχίων.
16 Ἦ σύ ποτ' ἐς πηγὰς κατελήλυθας ὠκεανοῖο;
Βένθεά τ' ἀστεμφέα καὶ ὑγρὰ θέμεθλα θαλάσσης,
Ἠὲ βυθὸν πόντοιο καὶ ἄγριον οἶδμα πάτησας;
17 Ἦ ῥά τοι ὠΐγνυντο πύλαι σκιόεντος ὀλέθρου;
Κηρός τε στυγερῆς ἴδες ἀχλυόεντα θύρετρα,
Ἦ, σκιῇ εἰλομένη ναίει μέλανος θανάτοιο;

Deinde eum, ut præordinavi, januæ & vectes ſtcinxerunt,
Litoráque prominentia munita, undique autem fluctus
Fremuit impetuoſus, lævis autem eminuit petra.
Et valde licèt efferbuerit unda, murmuraverítque mare
Litore magno præpeditum, id verò ipſum
Coërcuit, ideóque non ultrà fluxit cupiens licèt.
Ità enim ego mandavi, increpánſque affatus ſum,
Oceane, ſiſte impetum, quid verò furis non-ampliùs tolera-
Huc ades, grandiſone, & nè hoſce limites tranſeas, (biliter?
Hìc ſiſte fluxum, tumidóſque fluctus compeſce.
Quòd ſi te ego hunc terminum tranſilientem deprehendero
Fluctu audaci, id verò tibi durius erit. (ctum.
Sic dixi; ille autem ſedavit ſuum fluentum, ſiſtebátque flu-
Anne tu unquá Orientem diſpoſuiſti, diluculúmq; juſſiſti
Scire ſuum locum ſimul & tempus obſervare?
Aurorámq; croceum-peplum-geſtantem de cœlo miſiſti;
Ut longinquis illuceſceret finibus terræ,
Ut conſilio tuo detectis
Peccatis, ignobiles nequitiæ famuli
Funditus malè perirent de terra ſpatioſa?
Quæ ſimul ac noctis nebulam exuit atram,
Statim omnifaria fit, mirabile viſu,
Omnigenis coloribus & ſpeciebus renidens
Splendidis, multiformis, veluti argilla,
Quam figulus variegavit ſcienti animo.
Pulchra autem prata affatim rident, geſtantes
Palliúmque purpureum & floridam tunicam.
Tum hominum inſolentia, & immania facinora apparuere.
Sic enim meo conſilio dulce lumen defecit
Impios, rigidúmque fractum eſt ab humero brachium.
Túne unquam in fontes deſcendiſti Oceani?
Profunditatéſque inſtabiles & humida fundamenta maris,
Aut abyſſum ponti & ſævam undam calcâſti?
Nunquid tibi apertæ ſunt januæ umbroſæ necis?
Parcæque inviſæ vidiſti tenebricoſa oſtia,
Ubi umbra pernicioſa habitat nigræ mortis?

18 Ἀλλ' ἄγε, μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ κόσμου πλάτος οἶδας, καὶ εἴ σοι τοῦτο μέμηλεν,
Εἰς ὅσον εὐρείης κύκλος περιδέδρομε γαίης;
19 Φέγγος ποῦ ναίει; πόθι οἱ δόμος τε πόλις τε;
Ποῦ ζόφος οἶκον ἔχει; πόθι δ' ἀχλύος ἠδὲ μέλαθρον;
20 Ὄφρα μιν οἴκαδ' ἄγῃς δεδαημένος εἶο κελεύθους,
Εἴ ποτ' ἀποπλαγχθεῖσαν ἴδῃς ἀπὸ πατρίδος αἴης.
21 Ἦ ῥά νυ ταῦτ' εὖ οἶδας, ἐπεὶ πολυήμερός ἐσσι,
Πάντων τε πρῶτος γέγονας, καὶ πλεῖστα γινώσκεις;
22 Θησαυροὺς νιφετοῖο ποτ' ἔδρακες ὀφθαλμοῖσιν;
Ἢ κειμήλια τόσσα πολυσμαράγοιο χαλάζης;
23 Δήϊον ἐς πόλεμον τά τε μοι στονόεντα βέλεμνα
Κεῖται αἰὲν ἑτοῖμ', οἷς ἀνδρῶν κράατα βάλλω
Πανσυδίῃ, τοῖσίν τε κοτέσσομαι ἤματι λυγρῷ.
24 Πῆ δὲ φάος μεμέρισται ἀπ' αἰθέρος ἀτρυγέτοιο;
Πῆ τανυσίπτερος Εὖρος ἐπείγετο λαίλαπι θύων,
Ἠελίου τε βολῇσιν ἐκίδνατο πᾶσαν ἐπ' αἶαν;
25 Τίς δ' ὀχετοὺς ὄμβροισι καὶ ὑετῷ οἶμον ἔδωκε,
Δεινῇ τε βροντῇ, ὅτ' ἀπ' οὐρανόθεν παταγήσῃ,
Βροντῇ τε στεροπῇ τε διέχισε δίαν ἀταρπόν;
26 Ὄφρ' ἄβατον γαῖαν, λυπρὴν καὶ ἐρημάδα πέζην,
Δεύσῃ παλέῃ ῥαθάμιγξ, τεθαλυῖά τ' ἐέρσῃ.
27 Χθὼν ἵνα διψαλέη πρότερόν περ ἄοσμος ἐοῦσα,
Ἤδη καρποτρόφοιο κορεσσαμένη ὄμβροιο
Ὥρῃ ἐν εἰαρινῇ βλαστήματα καλὰ φυτεύσῃ
Ἄνθεσι παντοίοισιν ἐπηετανὸν γανόωσα.
28 Τίς δὲ ὄμβροιο πατήρ; τίνα δ' ὑετὸς οἶδε γονῆα;
Ποίης τις γενεῆς καὶ αἵματος εὔχεται εἶναι;
29 Ποῦ κρύσταλλος ἔφυ; τίνα πηγυλὶς ἔσχε τοκῆα;
Πάχνη ὅθεν γεγαυῖα; τίνος τ' ἐκ γαστέρος ἦλθεν;
30 Εὖτε λίθῳ ἐβέβυστο καὶ ἔστη λευκὰ ῥέεθρα
Ψύχει παγωθέντα, πέπηγε δὲ βένθεος ὄμμα,
Καὶ τότε δ' ὕδωρ ὑπὸ κυλίνδεται ἐσσύμενον περ.
31 Πληϊάδας θ', Ὑάδας τε, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει,

Ἀλλὰ

Sed agè, mihi illud dic & verè narra,
Si mundi latitudinem nôſti, & ſi tibi hoc curæ ſit,
In quantum amplæ ambitus circuncurrit terræ?
Lux ubi habitat? ubi ei populúſque civitáſque?
Ubi tenebræ ædes habent? ubi caliginis eſt domus?
Ut eam domum reducas edoctus ejus ſemitas,
Siquando aberrantem videas à natali ſolo.
Nunquid hæc bene nôſti, quoniam multorum dierum es,
Omniúmque primus natus es, & plurima cognoſcis?
Theſauros nivis unquámne vidiſti oculis?
Aut tot acervos reconditos crepitantis grandinis?
Funeſtum in bellum quæ mihi gravia tela
Jacent ſemper parata, quibus hominum capita vulnero
Prorſus, quibus iratus fuero die ſævo.
Quà autem lux diſpertitur ſub aëre infructuoſo?
Quà expanſis alis Eurus impellitur turbine furens,
Soliſque radiis diſpergitur totam in terram?
Quis canales imbribus, & pluviæ viam dedit,
Horrendóque tonitruo, quando de cœlo fragorem dat,
Tonitruóque fulgetróque diviſit divinam ſemitam?
Ut imperviam terram, ſterile & deſertum ſolum
Riget pinguis gutta, floridúſque ros.
Tellus ut ſitibunda, antea quantumvis deſolata fuerit,
Modò frugifero ſatiata imbre
Tempore verno germina pulchra progigneret
Floribus omnifariis affatim reſplendens.
Quis imbris pater? quem pluvia novit parentem?
Quali ex genere gloriatur & ſanguine ſe eſſe?
Unde glacies nata eſt? quem gelu novit genitorem?
Pruina unde orta? cujúſque ex utero venit?
Veluti lapide obſtructa ſunt & ſtant limpida fluenta
Frigore concreta, congelatúrque abyſſi facies,
Et tum aqua nequaquam volvitur cupiens quamvis.
Pleiadéſque, Hyadéſque, & ſerò occidentem Booten,
Urſámque, quam & Plauſtrum cognomine vocant,
Quæ ibidem vertitur, atque Orionem obſervat,

 Aliáque

Ἄλλα τε τείρεα πάντα τά τ' οὐρανὸς ἐστεφάνωται,
Ὥρῃ ἐπὶ σφετέρῃ ἀνατελλέμεναι σάφα οἶδας;
Πληϊάδων δὲ μελισταγέων ἐπιτελλομενάων
Σφίγξαι ἐπιρροίην δύνασαι, ἢ δυσομενάων
Στάξαι ὡς γλυκὺ νᾶμα, τό τε δῖνος Ὠρείωνος
Λῦσαι, καὶ στιβαρὰ δυσχείμερα δεσμὰ Βοώτεω;
32 Ζώδιά τ' εὖ ἰθῦναι ἐν ἀστεροφεγγέϊ κύκλῳ,
Ἀρκτοῦρόν τε γέροντα σὺν υἱάσιν, ὥστε κατ' αὐτὸν
Ὠκεανὸν εἰσανιόντας ἑὸν δρόμον ἐκτολυπεῦσαι;
33 Αἰθέρος ἀνεμμάτοιο διηνεκέα προχὸν ἔγνως,
Ὡς σφαῖραι πόλον ἀμφὶ κυλινδόμεναι στροφέονται,
Ἐν δέ τ' ἐπιχθονίοις ἔργων χαράσσειν ἀμοιβὴν
Νωλεμέως ἀνύουσι περιπλομένων λυκαβάντων;
34 Ἦ ῥα σὺ χαλκεόφωνος ἐς αἰθέρα δ' ἄχρις ἀΰσεις,
Ὅσσον τ' ἐννεάχειλοι ἐπίαχον, ἢ δεκάχειλοι,
Σμερδαλέα βοόων, ἵνα σ' ὕδατα πολλὰ καλύψῃ
Πεπτεῶτ' οὐρανόθεν νεφελάων καταπιπτομενάων;
35 Ἄγγελον ἐς γαῖαν πέμψεις ψολόεντα κεραυνὸν,
Βάσκ', ἴθι οὗλε, λέγων; σὺ δ' ἀκόντισας ἐκ νεφελάων
Θύελλά τε στεροπὴν ἠδὲ φλογόεντα βέλεμνα.
36 Τίς νόον ἐν πραπίδεσσι, τίς ἢ φρένας ἐσθλὸς ἔθηκεν;
Ἠὲ τίς ἴδμεν' ἔδωκε δρυῶν φύσιν, ἔργα τε ζώων;
37 Ὀμβροτόκων νεφέων τίς ἀθέσφατον οἶδεν ἀριθμόν;
Ἢ τίς ἐπουρανίους ὑδάτων ἐγκύμονας ἀσκοὺς
Ἰσχανάα, ἵνα μή τι καταβρέξωσιν ἀρούρας
Στάγμασιν ἀμβροσίοισι, κύων ὅτε λάμψε πυραυγής;
38 Ὄφρα πάγη χθὼν, θρομβοῦντο δὲ βώλακες αἴης,
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθοις;
39 Ἀγρεύσεις κρατεροῖσιν ἕλωρ καὶ κύρμα λέουσιν;
Αὐτοῖς καὶ τέκεσιν τεύξεις μενοεικέα δαῖτα;
Καὶ σκύμνων πόθος καὶ ἐδητύος ἐξ ἔρον ἥσεις,
40 Ὄφρα κατὰ κρύβδην κέαται πυκινῇ ἐνὶ λόχμῃ
Σίνται, ὑποχθονίοις ἄντροις ἔνι φωλεύοντες;
41 Τίς δ' ὡπλίσσατο δόρπον ἀπάστοισιν κοράκεσσιν,
Ὁππότ' ἀνὰ λειμῶνα νεοσσοί, νήπια τέκνα,
Βρώμης δευόμενοι πεποτήατο τετριγῶτες,
Καὶ Θεὸν ἱλάσκοντο ὄπα σμικρὴν ἱέντες; ΚΕΦ.

Aliáque ſidera omnia quibus cœlum coronatum eſt,
Tempore ſuo educere certò nôſti ?
Pleiadum autem mellifluarum orientium
Cohibere influentiam potes, aut occidentium
Stillare velut dulcem laticem, vímque Orionis
Solvere, & robuſti tempeſtuoſa vincula Bootæ ?
Signáque zodiaci bene dirigere in ſtellifero circulo,
Arcturúmque ſenem cum filiis, ut ordine
Cœlum conſcendentes ſuum curſum abſolvant ?
Ætheris indefeſſi ſempiternam rotam nôſti,
Quomodo *ſcilicet* ſphæræ circa polum volubiles vertuntur,
Et in ſublunaribus rerum gratam viciſſitudinem
Perpetuò præſtant circunlabentibus annis. (beris,
Túne ferream-vocem-habens ad ætherem uſque vocifera-
Quantùm novies-mille clamant, vel decies-mille,
Horrendùm vociferans, ut te aquæ multæ tegant
Cadentes cœlitus nubibus liquentibus ?
Nuncium in terram mittes fuliginoſum fulmen,
Vade agè, nequam, dicens ? túne jaculatus es è nubibus
Impetuoſúmque fulmen & flammantia tela ? (ſuit ?
Quis intelligentiam in præcordiis, quíſve mentẽ intus po-
Aut quis ſcire dedit arborum naturam, operáq; animantium ?
Imbriferarum nubium quis ingentem novit numerum ?
Vel quis cœleſtes aquis gravidos utres
Cohibuit, ut nec omnino irrigent agros
Stillicidiis dulcibus, canis cùm fulſerit rutilus;
Quando concreſcit humus, in-grumos-coëunt autem glebæ
Die illo, quo plurimus *eſt* pulvis in viis ? (terræ,
Venaberis fortibus prædam & eſcam leonibus ?
Ipſis & proli apparabis gratas epulas ?
Et catulis potûs & cibi deſiderium eximes,
Quando latenter cubant denſa in ſylva
Noxii, ſubterraneis in antris deliteſcentes ?
Quis autem paravit cœnam impaſtis corvis,
Cùm per pratum pulli, parvula proles,
Eſcâ indigentes volant ſtridentes,
Et Deo ſupplicant, vocem raucam edentes ?

CAP.

ΚΕΦ. λθʹ.

1 Οἶδας ὅταν τίκτωσιν ἰονθάδες ἄγριαι αἶγες;
Ἢ ὅτε νεβροτόκων ἐλάφων γένος ὠδίνωσι;
2 Μηνῶν οἶδας ἀριθμὸν, ὃν ἔγκυοι ἐκτελέουσι,
Ποσσῆμαρ κυέουσι, καὶ ὥρην οἶδα τόκοιο;
3 Ὀκλαδὸν ὠδίνουσι λοχευόμεναι φίλα τέκνα,
Τὰς δέ τ' ἔχει βέλος ὀξὺ μογοστόκου Εἰλειθυίης,
Βριθύ τε καὶ κρατερὸν, πικρὰς ὠδῖνας ὀφέλλον.
4 Ζατρεφέα σφίσι τέκνα, καὶ εὖ κεκορεσμέν' ἐδωδῆς,
Ῥεῖά τ' ἀεξόμενα λιπαροῖς στίλβουσι μέλεσσιν,
Ἠρέμα δ' ἐκ κοίτης τυτθοῖς ἕρποντα πόδεσσι,
Νηπιέῃ τ' ἀλεγεινῇ ἀποπλαγχθέντα γονήων
Οὐκέτι μιμνήσκοντο παλίντροπον ἴχνος ἐπείγειν.
5 Τίς τὸν ὄναγρον ἀφῆκεν ἀδέσποτον, ἅμματα λύσας,
Κραιπνὸν, ἀελλοπόδην, κρατερώνυχον, αἰπὺν ὄναγρον;
6 Τῷ μὲν ἐγὼ ποίησα δόμους ἐν ἐρημάδι πέζῃ,
Οἰοπόλος δ' ὅγ' ἔναιεν ἐπὶ χθονὸς ἀτρυγέτοιο·
7 Τῆλε δ' ἀπὸ πληθύος μισόπτολις οἶος ἀλᾶται,
Δῆμον ἀλυσκάζει, καὶ δ' ἔστυγε πολιῶν ὅμιλον,
Οὔτε ποθ' ὑβριστέω κρατερῆς ἀΐεσκεν ὁμοκλῆς,
Ποιμένος οὔτε βοῆς ἐμπάζεται, οὔτ' ἐλατῆρος.
8 Οὔρεος ἐν βήσσῃσιν ἀεὶ νεοθηλέα ποίην
Μαστεύων ἀλάληται, ἀπὸ χλοεροῖό τε χόρτου
Εἶχε νομὸν, φέρβει μιν ἄδην ποσσίτροφος αἶα.
9 Νηπύτι', ἦ οἴεις ὅτι μονοκέρωτα δαμάσσαι
Ἀγριότερον δύνασαι, ἵνα τοι πειθήνιος εἴη,
Καὶ στῇ, κρῖ λευκὸν ἔδων ὡς βοῦς ἐπὶ φάτνῃ;
10 Ἢ γάρ οἱ εἰν ἀλόκεσσιν ὑπὸ ζυγὸν αὐχένα θήσεις,
Ὡς ἄρα βωλοκοπῇ γυάλοις ἐνὶ καρποφόροισι;
11 Τῷ δ' ἦ βίηφι πέποιθας, ὅτι κράτεϊ προβέβηκεν;
Οὕνεκά τ' ἄλκιμός ἐστ', οἱ ἐπιτρέψεις τὰ σὰ ἔργα;
12 Φῂς ῥά μιν ἐκ τεμένους σέο μέλλοντα καρπὸν ἀποίσειν,
Οἴκαδέ τ' ἀξέμεναι, θέρεος περιτελλομένοιο,

(Ἢ

C A P. XXXIX.

NOſti, quando pariunt villoſæ ſylveſtres capræ? (riunt?
Aut quando hinnulos-ferentium cervarum genus partu-
Menſium nôſti numerum, quem prægnantes implent,
Quoto die fœtant, & tempus nôſti partûs?
Incurvando-ſe parturiunt enitentes charam prolem,
Eas autem tenet telum laborem-afferentis Lucinæ,
Grave & forte, amaros dolores augens.
Pingues ipſis filii, & bene ſaturati cibo,
Faciléque creſcentes nitidis renident membris,
Senſim verò è cubili parvulis repentes pedibus,
Infantiâque præ miſeranda aberrantes à parentibus
Non-ampliùs meminerunt reducem greſſum incitare.
Quis onagrum dimiſit liberum, vincula ſolvens,
Velocem, rapidum, validis-ungulis, procerum onagrum?
Cui ego feci domos in deſerta terra,
Solivagus verò hic habitat in ſolo infructuoſo:
Procul à multitudine oſor-urbis ſolus vagatur,
Populum vitat, abhorretque à multo cœtu,
Nec unquam exactoris rigidas audit minas,
Paſtoris nec clamorem timet, nec agaſonis.
Montis in ſaltibus ſemper recens virentem herbam
Perquirens vagatur, de viridique gramine
Habet paſtum, paſcit eum copioſè herbida tellus.
Inepte, putáſne te unicornem domare
Sylveſtrem poſſe, ut ſibi obediens ſit,
Et ſtet, hordeum album edens tanquam bos ad præſepe?
Num enim ei in ſulcis jugo collum ſubjicies,
Ut glebas-confringat vallibus in frugiferis?
Ejus autem viribus confiſus es, quoniam robore excellit?
Et quia robuſtus eſt, ei committes tua negotia?
Putáſne eum ex agro tuum pomacei-coloris frumentum la-
Domúmque adducturum, æſtate circumvertente, (turum,

(Ἢ δμωίαν δίκη ἐστὶ, βοῶν τ' ὀρθοκραιράων)
Εὖ τ' ἀποθησόμεναί μιν ἐϋκλιμένῃ ἐν ἀλωῇ;
13 Σὺ πτερὰ καλλιπέτηλα καὶ ἀγλαὰ εἵματ' ἔδωκας
Ὀῤῥοπυγοστίκτοισι ταωπτερύγεσσι ταώσιν;
Οἱ δέ τ' ἀγαλλόμενοι πτερύγεσσί τε κάλλεΐ τε σφῷ
Κύκλῳ ἐπισκιόωσιν ὅλον δέμας αἰολομόρφῳ,
Πυκνοῖς ὀφθαλμοῖσι πεπασμένῳ ἔνθα καὶ ἔνθα,
Θαῦμα ἰδεῖν· πτερὰ σὺ πτέρυγάς τε στρουθοκαμήλῳ;
14 Ἡδ' ἐπεὶ οὖν τίκεν ὠὰ, χαμαὶ λίπεν, οὐδέ τι θάλπει
Ὃν τόκον ἀμφικαλυψαμένη πτερύγεσσι φίλῃσιν,
Ὡς ἔθος ὀρνίθεσσι· τὰ δ' ἐν λιαρῇσι κονίης
Θάλπεται ἀκτίνεσσι καὶ ἐκλέπετ' ἠελίοιο.
15 Νηπίη, οὐδὲ τό γ' οἶδεν ἐνὶ φρεσὶν, οὐδ' ἐνόησεν
Θῆρες ὅτ' ἐγκύρσαντες ἑὴν ἀποφώλιον εὐνὴν
Τεψάμεναί τι μέλλον ὑπαὶ ποσὶ, ῥαισόμεναί τε.
16 Μήτηρ δυσμήτηρ, καὶ ἀπηνέα θυμὸν ἔχουσα,
Ἣ οὕτω τεκέων νοσφίζεται, δια ἀπ' αὐτῇ
Οὐκ εἰδυῖα τόκοιο· σιδήρεόν νύ οἱ ἦτορ·
Ἢ ὅτε μὰψ αὕτως κρατερὰς ὠδῖνας ἄλυξε
Δυσπονέος τοκετοῖο, ἑῶν ἀμέλησε νεοσσῶν
Σχετλίη, οὐδέ σφιν περιδείδιε μή τι πάθωσιν·
17 Οὐ γάρ οἱ οὐδὲ Θεὸς νόον ἐν στήθεσσιν ἔδωκεν,
Ἰδρείην δ' ἀνένευσε, καὶ οὐκ ὄπασσε φρένας ἐσθλάς.
18 Ἡ δ' οὐκ ἀμφιποτᾶται ἐν αἰθέρι καὶ νεφέλῃσιν,
Ἧτ' ἄλλων θέμις ἐστὶν ὑπουρανίων πετεηνῶν,
Ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στῆθ' ἄειρεν
Ἱστὸν ὅπως, πτέρυγας λεύκ' ἱστία θ' ὡς πετάσασα
Ῥίμφα θέει διὰ γαῖαν ἅμα πνοιῇς ἀνέμοιο,
Οἷά τις αὐτομάτη πλέῃ νηῦς, τῇ ἄρα μοῦνοι
Ἵκμενοι οὖροι ὄπισθε κυβερνητῆρες ἔασι·
Πὰρ δ' ἐλάσασα γελοίιασ' ὁμῶς ἱππῆα καὶ ἵππον,
Ἀμφότερον, θείουσάν τε θέειν, μείζων θ' ὀρχίαδης.
19 Ἦ ῥα σὺ κάρτος ἔδωκας ἀρηΐῳ ἀλκίμῳ ἵππῳ,
Ὠκεῖ, χαλκόποδι, κρατερώνυχι, κυανοχαίτῃ;
Ἀμφὶ τέ οἱ φρικτὴν ἔσσας παχειὴν αὐχένα βροντήν;
Πουλὺ δέ οἱ στέρνον, δολιχὸν δέμας, εὐρέα νῶτα,

Γυραλέη

(Qui ſervorum mos eſt, boúmque erecta-capita-habentium)
Tutóque repoſiturum illud bene-extructa in area?
Túne pennas pulchrè-expanſas & ſplendidas veſtes dediſti
Orrhopygium-notis-diſtinctú-habentibus, extenſis-alis pa-
Hi .a. ſuperbientes plumíſq; pulchritudinéq; ſuâ (vonibus?
Circulo obumbrant totum corpus variegato,
Frequentibus oculis conſperſo hinc & indè,
Mirum viſu: pennáſne tu plumáſque *dediſti* ſtruthiocamelo?
Quæ poſtquam peperit ova, humi relinquit, neq; fovet
Suum fœtum circuntegens alis charis,
Ut mos *eſt* volucribus: illa autem in tepido pulvere
Foventur radiis & excluduntur ſolaribus.
Inſipiens, neque id novit in animo, neque animadvertit
Feræ quòd ingruentes ejus irritum cubile
Conterere fortean futuræ ſint ſub pedibus, diſperderéque.
Mater mala-mater, & durum animum habens,
Quæ ſic à prole alienata eſt, quaſi ipſa
Neſcia partûs: ferreum certè ei cor:
Quæ cùm fruſtrà adeò validos dolores vitavit
Laborioſi partûs, ſuos negligit pullos
Improba, nec de iis metuit, nequid patiantur.
Neque enim ei Deus intelligentiam in pectoribus dedit,
Scientiam verò negavit, & non præbuit mentem ſanam.
Ea autem non circumvolitat in æthere & nubibus,
Qui aliarum ritus eſt aëriarum volucrum,
Surſum verò villoſúmque caput & pectora erigit
Malum ceu *navis*, aláſque veluti alba vela expandens
Celeriter currit per terram pariter cum flamine venti,
Quaſi quædam automata pedeſtris navis, cui ſoli
Secundi venti à-tergo gubernatores ſunt:
Præteriens autem deridet pariter equitémque & equum,
Utrumque, velociórque curſu, majórque viſu.
Nunquid tu robur dediſti bellicoſo forti equo,
Celeri, æripedi, ſolidam-ungulam-habenti, nigris-ſetis?
Ejúſne horrendo induiſti craſſam cervicem tonitruo?
Amplum ei pectus, oblongum corpus, lata terga,
Reflexum

Γυραλέῃ δειρῇ, διὰ δὲ πρήσσει πεδίοιο
Κυδιόων, ὑψοῦ τε κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
Ὤμοις ἀΐσσονται, ὁ δ' ἀγλαΐηφι πεποιθὼς,
Ῥίμφα ἑ γοῦνα φέρει, νεύσει τε δεινὸν ἐθεῖραι.
20 Ἦ ῥά μιν ὥς τέττιγα δεδίξεαι, ὅς τε καθ' ὕλην
Δενδρέῳ ἐφεζόμενος ὄπα λειριόεσσαν ἵησιν;
Ἤν δέ τιν' ἢ ἐλθόντα ἴδῃ, ἢ δοῦπον ἀκούσῃ,
Δείσειν ἀπὸ ζαφελῶς, μάλα τε χλωρὸν δέος εἷλε·
Μνήσατο μὲν φύζης, θαλερῆς δέ τε λήσατ' ἀοιδῆς·
Ὡς σύ γ' οἱ ἐν στήθεσσι φόβον καὶ δεῖμος ἐνόρσεις;
Ἀλλ' ὅγε φυσιόων ἀνερεύγετο πυλαῷ αὐτμὴν
Θερμὸν ἀπὸ στόματος καὶ σμερδαλέων ἀπὸ ῥινῶν.
21 Πλίσσων ἄγχια ποσσὶν ὀρούρυχεν ἀλκὶ πεποιθὼς,
Κὰπ πεδίον στιχόων πυκινῆς ἤντησε φάλαγγος,
Δεινὸν ὑπὸ σάκεσίν τε καὶ ἔγχεσι πεφρικυίης,
Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ.
22 Οὔτ' ἄρα μιν δέος ἴσχει ἀεικέσιον, οὔτε τι λίην
Ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσάζηται λόχον ἀνδρῶν.
Οὐδὲ γάρ οἱ γενναῖον ἀλυσκάζοντι μάχεσθαι,
Οὐ πλώουσιν, καὶ ὀπιπεύειν πτολέμοιο γεφύρας
Χαλκοῦ ὑπὸ στεροπῆς, ξίφεός θ' ὑπὸ μαρμαρυγάων.
23 Αἰνὰ μάλ' ἀναδέδορκεν ἀσκαρδαμύκτοισιν ὀπωπῇς
Αἰζηοῖσι λόχον πεπυκασμένον αἰχμητῇσιν,
Καὶ χαλκὸν σελαγεῦντα, καὶ ἀστράπτοντα σίδηρον.
Βῆ δὲ διὰ προμάχων, τότε δὴ κατεναντίον αὐτοῦ
Λίγξε βιὸς, καναχῆσε φαρέτρη, κλάγξε δ' ὀϊστὸς,
Ἀμφὶ δ' ἄρ ὤμοισι βράχε τεύχεα παμφανόωντα,
Αἴγλη δ' οὐρανὸν ἷκεν, ἐκίνηθεν δὲ φάλαγγες,
Στὰν δ' αὐτοῦ κατέναντι ἀολλέες ἀγχιμαχηταὶ
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ.
24 Ἀλλ' ὁ μὲν ἐν προμάχοισι κίε θεῖναι βλεμεαίνων,
Ὄσσε δέ οἱ βλοσυροῖσιν ὑπὸ σκυνίοισι δαφοινοὶ
Λαμπέσθην ὡσεί τε πυρὸς σέλας αἰθομένοιο,
Ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο μαρναμένοιο.
Ποσσὶν ὀρώρεχται πολεμιζέμεν, ἔνθα κονίην
Ῥοιβδεῖ πολύστιβον, χθόνα τε ῥάθωσι λαφύσσει.

Ἀφρεε

Reflexum collum, pertranſit verò campum
Exultans, altéque caput tollit, circum autem jubæ
Humeros diffunduntur, ille autem ſplendore fretus, (mæ.
Celeriter ipſum genua ferunt, nutant autem horrendùm co-
Eúmne tanquam cicadam terrefacies, quæ in ſylva
Arbori inſidens vocem ſuavem emittit,
Sin verò aliquem aut venientem videat, aut ſonum audiat,
Timet vehementer, valdéque pallidus metus *eam* occupat;
Meminit quidem fugæ, floridi autem obliviſcitur cantûs:
Ità tu illi in pectoribus timorem & metum incuties?
At ille anhelans evomit multum vaporem
Calidum ab ore & terribilibus à naribus.
Tolutim-incedens valles pedibus fodit, robore confiſus,
Per planitiem gradiens denſæ occurrit phalangi,
Terribiliter licèt ſcutiſque & lanceis horreſcenti,
Optat autem primo-quoq;-tempore miſceri in prælio triſti.
Nec certè eum timor cohibet excors, nec omnino
Metuit, poſtquam primùm ingreſſus fuerit cohortem virorũ.
Neque enim ei honeſtum fugitanti pugnare,
Non trepidare, & circunſpicere belli tranſitus
Æris præ fulgure, enſíſque præ fulgore.
Torvè admodum intuetur irretortis oculis
Juvenibus cohortem condenſam haſtatis,
Et æs fulgidum, & ſcintillans ferrum.
Pergit autem per primam-aciem; tum etiam adverſus illum
Crepuit arcus, ſonuit pharetra, ſtridit ſagitta,
Circa humeros reſonuerunt arma ſplendida,
Fulgor *ad* cœlum pervenit, commotæ autem ſunt phalanges,
Stant ei ex-adverſo conferti propugnatores
Munientes lanceas lanceis, clypeos clypeis denſis.
At ille inter primos incedit robore ſuperbiens,
Oculi autem ejus torvis ſuperciliis truculenti
Splendent veluti ignis flamma ardentis;
Spuma autem circa os oritur furentis.
Pedibus porrigitur ad-pugnandum, tum pulverem
Abſorbet anhelans, & terram naribus haurit.

Ἄφρεε δὲ στήθεα, ῥέοντ' ἐφύπερθε δὲ χαῖται,
Ὁπλάων δ' ὑπένερθε κονίσαλος ὤρνυτ' ἀελλής.
Αὐτὰρ ὅτε πτολέμοιο προάγγελος ἴαχε σάλπιγξ,
Φωνήν τ' ἐγχεσικύδιμον ἀρήϊος αὐλὸς ἵηκε,
Τόφρα μάλ' ἦκατ' ὄρεξεν, ἐελδόμενος πολέμοιο,
Ἔγρετο δ' ὀρθωθεὶς, οὐδ' ἔςαμεν οἷσι πόδεσσιν,
Οὐδ' ἔτι σάλπιγγος λιγέα ψόφον ὄιετ' ἀκούειν.
25 Ἐν σάλπιγξι μέσῃσιν ἀγαλλόμενος χρεμετίζει,
Τηλόθεν ὀσφρόμενος κλαγγῆς καὶ δηϊοτῆτος,
Βροντῆς ἡγεμόνων καὶ μαρναμένων ἀλαλητῷ.
26 Σεῖο ἕκηθ' ἴρηξ ὠκύπτερος ὦρτο πέταξ
Κίρκος, ὅ,τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσι,
Καὶ νότον ἀμφιποτᾶται ἀγαλλόμενος πτερύγεσσι;
27 Σεῖο δ' ἐφημοσύνῃ μέγας αἰετὸς ἠέρα τέμνει
Ὑψιπέτης, ὃς πᾶσι μεταπρέπει οἰωνοῖσιν,
Ὑψοῦ δ' ἐν νεφέλῃσιν ἀναιδέα τεῦξε καλιήν;
28 Ναίει ἐπὶ προβλῆτι καὶ ἠεροειδέϊ πέτρῃ,
Αἰγίλιπι, στιβαρῇ, μίμνει δ' ἐπὶ ῥωγάδι πέτρῃ.
29 Ἔνθα μὲν οὐχ ἄλιος σκοπὸς ἕζεται, οὐδ' ἀπὸ δόξης
Πάντοσε παπταίνει, εἴπη μέγα κύρμα κιχείη,
Τῆλε δ' ἀπὸ σκοπιῆς εἶδεν νέκυν ὄμματι γοργῷ,
Ὀξύτατον γὰρ δέρκεθ' ὑπουρανίων πετεηνῶν.
30 Ὠμηςὰς ἔτρεφε νεοσσοὺς ἀργέτι δημῷ
Σαρκοφάγους, τῷ αἰὲν ὁμίλησαν νεκύεσσιν.

ΚΕΦ. μ'.

1 ὩΣ φάτ' ἀπηλεγέως ἱερὴ ἲς Ἀθανάτοιο,
Οὐδ' ἐπίαν ἔτι λῆξε, πάλιν δέ τε μῦθον ἔνισπεν,
Ἂψ τ' ἀπαμείβετ' Ἰωβον, ὁμοκλήσας τε προσηύδα,
2 Τίς νύ κε τολμήσειε Θεῷ ἐριδαινέμεν ἄντιον,
Μῆτίν θ' οἱ ὑποθεῖναι, ἐχεφροσύνην τ' ἐραλέην
Τειπλῇ τεβαναλῇ τ' ἀποπέσθαι, ὅς μιν ἐλέγξαι
Τλαίη· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·

Δυςλύων

Spumat autem pectus, quaſſantur verò ſupernè jubæ,
Sub ungulis autem pulvis excitatus eſt turbineus.
At cùm belli prænuncia ſonat tuba,
Vocémque pugnæ-excitatricem mavortia buccina emittit,
Tum valde aures arrigit cupiens belli,
Surgit autem erectus, neque ſtat ſuis pedibus,
Nec dum tubæ canorum clangorem putat ſe audire.
Inter tubas medias exultans hinnit,
A-longinquo olfaciens clangorem & prælium,
Tonitruum ducum, & pugnantium clamorem.
Tuóne arbitrio accipiter perniciter-volans concitatur ad-
Circus, qui parvis cædem adfert avibus, (volandum
Et notum circumvolat exultans pennis?
Tuóne præcepto magna aquila aërem ſcindit
Altivolans, quæ omnes excellit volucres,
Surſum autem in nubibus impudentem fecit nidum?
Habitavit in prominenti & obſcura rupe,
Excelſa, firma, manſitque in prærupta petra. (am
Ibi non vana ſpeculatrix ſedet, nec præter opinionem ſu-
Undique circunſpiciens ſicubi magnam prædam deprehen-
Lòngè autem à ſpecula vidit cadaver oculo acri, (dere-queat,
Acutiſſimè enim cernit inter aërias volucres.
Crudis-veſcentes alit pullos adipe candido
Carnivoros; ideo ſemper verſatur inter cadavera.

CAP. XL.

SIc fatur apertè ſacra vis Immortalis,
Necdum dictis deſtitit, rurſus autem is ſermonem dixit,
Iterúmque reſpondit Jobo, objurgánſque *eum* allocutus eſt,
Ecquis audeat *cum* Deo certare cominus,
Conſiliúmque ei ſuggerere, prudentiámque amabilem?
Tripliciter quadruplicitérque luet, qui ipſum redarguere
Auſit: difficilis enim Olympius *eſt* cui reſiſtatur;

Δυσλύων δέ τε παῖδες ἐμοῦ μένει ἀντιόωσιν.
3 Ὣς φάτο· ῥίγησεν δὲ πολύτλας δῖος Ἰώβος,
Δεῖσεν δ' ἀκέων ἔστηκε, δέος δέ μιν αἰνὸν ἵκανεν.
Ὀψὲ δέ μιν προσέφη, θεοπειθέα δ' ἔννεπε μῦθον·
4 Ὦ μοι ἐγὼ δειλὸς, καὶ ἐλέγχιστος ζωόντων·
Ἦ ῥα κατ' Ἀθανάτοιο στόμα νήπιον αὐτὸς ἀνοίξω;
Οὐκ ἔστ', οὐδὲ ἔοικε τεῒν, Πάτερ, ἀντίον εἰπεῖν·
Τοὔνεκ' ἐγὼν ἐθέλω ἐπὶ μάστακα χειρὶ πιέζειν.
5 Ἦ μὲν ἅπαξ ἐφάμην, καὶ δεύτερον αὖθις ἔειπον·
Ἀλλά μοι οὐκέτι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
Ἀντίον εἰπέμεναι τρίτατον πάλιν, ἀλλά μ' ἀνάγκη
Σιγῇ ἀτρέμας ἧσθαι, ἐπεὶ πολὺ λώϊον οὕτω.
6 Τὸν δ' ἀπαμειβόμενος προσέφη Θεὸς ἠθάδι φωνῇ
Λαίλαπος ἐκ μέσσης, βρέμε δ' οὐρανὸς εὐρὺς ὑπ' αὐτοῦ,
Σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον·
7 Ὦ πέπον, ἀνὴρ ἴσθι, περὶ ζώνην βαλὲ ἰξύϊ,
Θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην,
Εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς.
8 Δαιμόνι', ἦ ῥά νύ μοι ἀνεμώλια κρίματα θήσεις;
Ἀλλὰ μάλ' οὔπως ἐστὶν ἐμὸν νόον ἠδὲ μενοινὴν
Οὔτε παρεξελθεῖν δειλὸν βροτὸν, οὔθ' ἀλιῶσαι.
Ἠὲ δικαιώσεις σεαυτὸν κατ' ἐμεῖο δικάζων;
9 Ἦ ῥά σοι, ἠΰτε Θεῷ, μέγας ἐκτετάνυστο βραχίων,
Ὅς τε καὶ ἀμπεπαλὼν προΐει φλογόεντα κεραυνούς;
Δεινὸν δ' ἐβρόντησας ἀπ' αἰθέρος, ἠΰτ' ἐκεῖνος,
Φωνῇ ἐριγδούπῳ; στεροπὴν δ' ἅμα χειρὶ τινάξας;
10 Ἀλλ' ἄγε νῦν, εἴ μοι δύναται μένος ἰσοφαρίζειν,
Λάμπε δ' ἀγλαΐης θέειν ἐπιειμένος ἀλκὴν,
Κάλλεϊ καὶ χάρισι στίλβων καὶ μαρμαρυγῇσι,
Μειδιόων βλοσυροῖσι προσώπασιν, ἀμφὶ δὲ κῦδος
Βάλλεο, θεσπεσίην περὶ δ' ἕννυσο φέγγος ὀπωπήν·
11 Μῆνίν τε, δριμύν τε χόλον, νείκεσίν τε, καὶ ἄτην
Κίδναθι πᾶσαν ἐπ' αἶαν· ὅσους τ' ἴδῃς ἄνδρας ἀγαυοὺς,
Ῥίπτε, καὶ ἔνθα μάλιστα σὸν ἔκδικον ὄμμα τίταινε·
12 Βάλλε δ' ὑπερφιάλους ὑψαύχενας, ὅσσοι ἔασιν,
Ἐξ ἑδρέων στυφέλιξον ἀγήνορας, ὄφρα καὶ αὐτοὶ

Πρηνέες

Infelicium verò filii meo robori occurrunt.
Sic ait: exhorruit autem patiens divinus Jobus,
Diu autem tacitus ſtetit, timor verò eum gravis apprehendit.
Tandem autem eum allocutus eſt, pium autem dixit ſermo-
Heu me miſerum, & viliſſimum viventium! (nem;
An adversùs Immortalem os ſtolidum ipſe aperiam?
Non licet, neque decet tibi, Pater, contradicere:
Idcirco ego volo os manu opprimere.
Sanè ſemel dixi, & ſecundò iterum locutus ſum:
At mihi non-ampliùs animus in pectoribus auſus eſt
Ex-adverſo fari tertiò rurſus, ſed me jubes
In ſilentio quietè ſedere; quandoquidem longè meliùs ità *eſt.*
Illi autem viciſſim reſpondit Deus ſolitâ voce
Turbine de medio, tremuit autem cœlum amplum ſub ipſo,
Movit autem ſe in ſolio, concuſsitque magnum Olympum:
O timide, vir eſto, zonam circunjice lumbis,
Confide, neque prorſus in mente timeas tantopere,
Dic mihi interroganti vera, neque occultes.
Miſer, túne mea irrita judicia reddes?
Sed nullo-modo fas-eſt meam mentem nec cogitationem
Aut prætergredi miſerum mortalem, aut fruſtrari.
Vel num juſtificabis teipſum me condemnans?
Nunquid tibi, tanquam Deo, magnũ extenditur brachium,
Quod & vibrans projicit flammeum fulmen?
Horrendùm autem tonuiſti ab æthere, velut ille,
Voce grandiſonâ? fulgetrúmq; ſimul manu excuſſiſti?
Quin agè nunc, ſi mecum potes viribus æquiparari,
Fulge per ſplendorem impetuoſo indutus robore,
Pulchritudine & gratiis coruſcans, & nitore,
Subridens terribili vultu, circùm autem gloriâ
Amictus ſis, divinæ que indue lucem faciei:
Irámque, acrémque furorem, Nemeſinque, & Aten
Sparge totam in terram; quáque vides viros ſuperbos,
Projice, & ibi maximè meum vindicem oculum extende:
Dejice autem inſolentes faſtuoſos, quicunque ſunt,
De ſedibus deturba arrogantes, ut illi

Proni

Πρηνέας ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.
13 Λὰξ ἐν σήθεσι βαῖνε, ποδῶν θ᾽ ὑπένερθε κονίῃ
Κρύψον ὁμοῦ κακὰ φῦλα βροτῶν ὑπερηνορεόντων
Δήσας κακκεφαλῆς, ποῦ ἢ σκότος ὄσσε καλύψῃ.
14 Τόφρα δ᾽ ἐγὼ πρόφρων μυθήσομαι, ἠδ᾽ ἀναπείσω,
Ὡς σέο δεξιτερή τοι ὑπέρτερον εὖχος ὀρέξῃ.
15 Ἀλλ᾽ ἴδε νῦν ἐλέφαντα πελώριον, ὀβελεεύγιον,
Ἦ μάλα θαῦμ᾽ ἐτέτυκτο πελώριον, ἠδὲ ἐῴκει
Θηρί γ᾽ ὀρεσκῴῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
Ὑψηλοῖν ὀρέων, ἢ καὶ νέφει σκιόεντι.
Τὸν δ᾽ ἅμα σοὶ ποίησ᾽, ἵν᾽ ἀρούρης καρπὸν ἔδοιτο.
Οὐδὲ γὰρ ἐσθ᾽ ἅρπαξ ἐνὶ θήρεσιν, οὐδέ τι σίντης,
Τοῖός περ καὶ τόσσος ἐὼν δέμας, ἀλλὰ μάλ᾽ αἰεὶ
Βόσκεται ἐν χλοερῇσι πολυκνήμοισί τε βήσσῃς,
Ἠΰτε βοῦς ἀγελαῖος ἐν ἀσφοδελῷ λειμῶνι.
16 Ἄσχετός οἱ λαγόνεσσι βίη καὶ κάρτος ὀπηδεῖ,
Νειάτῳ ἐν κενεῶνι καὶ ὀμφαλῷ ἔπλετο κῖκυς.
17 Οὐρὴ δ᾽ οἱ ὡς κέδρος, τὴν δ᾽ ὡς μάλα ῥίμφα δονῆσιν,
Ὄρχεις ἁρμονίῃσιν εὐπλεκέεσσι δέδεντο,
Νεύροισίν θ᾽ ἑλίκεσσι καὶ ἴνεσιν ἐσφήκωντο.
18 Χαλκῷ μὲν χρό᾽ ἔοικε, δέμας δ᾽ αἴθωνι σιδήρῳ,
Ἄψεα καὶ γυῖα στιβαροῖς ὀστέοισιν ἀρήρει,
Ὡς γόμφοις χαλκέοισι, σιδηρείοισί τε μοχλοῖς.
19 Ἐν δ᾽ ἔργοισι Θεοῖο μάλ᾽ ἔξοχος εὔχεται εἶναι,
Θηρσί τ᾽ ἐν ἀγροτέροις μέγα φέρτατος· ὅς πάλαι αὐτὸν
Ἔπλασεν, ὥς ἀοιδεῖ, μεγάλῃ ὡπλίσσατο ῥινῷ,
Στρεπτῇ τε, σκολιῇ τε, προβοσκίδα τὴν καλέουσιν.
20 Ἀλλ᾽ οὐκ αἱμοβόρος, οὔτ᾽ ἄγριος, οὔτε δαφοινός,
Οὔρεα δ᾽ οἱ βοτάνην ἄλις ὤπασεν, ἔνθα δὲ θῆρες
Πάντες ἅμα σκαίρουσιν ἐναντίοι, οὐδέ τις αὐτῶν
Ταρβεῖ, οὐδὲ φοβεῖται, ἐπεί κεν ἴδῃ ἐλέφαντα.
21 Ἀνδρύας ὑψικόμους σκέπας οἱ πέλε δάσκιος ὕλη,
Ἀνθόνακας καὶ ἕλος κεῖται πυκινῇ ἐνὶ λόχμῃ
Κρύβδην, ἠδέ τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο·
22 Πὰρ ποταμὸν καλάδοντα, περὶ ῥοδανὸν δονακῆα,
Ἔνθα μιν ἀμφιέπουσι βαθύσκια δένδρεα μακρά,

Αἴγειροι

Proni in pulveribus mordicus prehendant terram.
Pedem in pectus imprime, ſúbque pedibus pulvere
Abſconde ſimul malas gentes hominum ſuperbientium
Ligans capite, eos autem tenebræ oculos operiant.
Tum verò ego lubens confitebor, neque inficiabor,
Quòd tua dextera tibi ſummam gloriam præbuit.
At ecce nunc elephantem ingentem, immania-membra-ha-
Certè admodum monſtrum eſt ingens, neque ſimilis (bentè;
Belluæ montanæ, ſed cacumini ſylvoſo
Excelſorum montium, aut etiam nubi opacæ.
Quem unà tecum feci, ut terræ fructum comederet.
Neque enim eſt rapax inter feras, neque prædator,
Talis licèt & tantus ſit corpore, ſed ſemper
Paſcitur in viridibus & aſperis ſaltibus,
Sicut bos armentalis in herboſo prato.
Immenſa ejus lumbis vis & fortitudo adeſt,
Imo in ventre & umbilico eſt robur.
Cauda ei tanquam cedrus, illam verò quàm celerrimè mo-
Teſticuli juncturis benè-complicatis ligati ſunt, (vit,
Nervíſque contortis & fibris revincti.
Æri quidem carne ſimilis eſt, corpore autem fulgenti fer-
Artus & membra firmis oſſibus compacta ſunt, (ro,
Veluti clavis æneis, ferreíſque vectibus.
Inter opera Dei admodum præcipuus gloriatur eſſe,
Feráſque inter agreſtes longè præſtantiſſimus: qui olim eum
Formavit, tanquam enſe, magno armavit naſo,
Verſatili, curvóque, proboſcidem quem vocant.
At non crudis-veſcens, neq; ſævus, neq; ſanguinolentus *eſt*,
Montes autem ei herbam abunde præbent, ubi feræ
Omnes ſimul ludunt oppoſitæ, nec ulla earum
Pavet, aut timet, cùm viderit elephantem.
Inter-arbores excelſas tegmen ei eſt umbroſa ſylva,
Inter-arundines & paludem jacet denſo in latibulo
Occultè, & in humido-loco paludis magnæ:
Ad fluvium ſtrepentem, rapidum, arundinoſum,
Ibi illum ambiunt umbroſæ arbores proceræ,

Alnique

Πρηνέας ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.
13 Λὰξ ἐν στήθεσι βαῖνε, ποδῶν δ' ὑπένερθε κονίῃ
Κρύψον ὁμοῦ κακὰ φῦλα βροτῶν ὑπερηνορεόντων
Δήσας κακκεφαλῆς, τοὺς δὲ σκότος ὄσσε καλύψῃ.
14 Τόφρα δ' ἐγὼ πρόφρων μυθήσομαι, οὐδ' ἀνανεύσω,
Ὡς σέο δεξιτερή τοι ὑπέρτερον εὖχος ὀρέξει.
15 Ἀλλ' ἴδε νῦν ἐλέφαντα πελώριον, ὀβριμόγυιον,
Ἦ μάλα θαῦμ' ἐτέτυκτο πελώριον, οὐδὲ ἔοικε
Θηρί γ' ὀρεσκῴῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
Ὑψηλῶν ὀρέων, ἢ καὶ νέφεϊ σκιόεντι.
Τὸν δ' ἅμα σοὶ ποίησ', ἵν' ἀρούρης καρπὸν ἔδοιτο.
Οὐδὲ γὰρ ἔσθ' ἅρπαξ ἐνὶ θήρεσιν, οὐδέ τι σίντης,
Τοῖός περ καὶ τόσσος ἐὼν δέμας, ἀλλὰ μάλ' αἰεὶ
Βόσκεται ἐν χλοεροῖσι πολυκνήμοισί τε βήσσαις,
Ἠΰτε βοῦς ἀγελαῖος ἐν ἀσφοδελῷ λειμῶνι.
16 Ἄσχετος οἱ λαγόνεσσι βίη καὶ κάρτος ὀπηδεῖ,
Νειάτῳ ἐν κενεῶνι καὶ ὀμφαλῷ ἔπλετο κῖκυς.
17 Οὐρή οἱ ὡς κέδρος, τὴν δ' ὡς μάλα ῥίμφα δονέουσιν,
Ὄρχεις ἁρμονίῃσιν ἐϋπλεκέεσσι δέδεντο,
Νεύροισιν δ' ἑλίκεσσι καὶ ἴνεσιν ἐσφήκωντο.
18 Χαλκῷ μὲν χρό' ἔοικε, δέμας δ' αἴθωνι σιδήρῳ,
Ἅψεα καὶ γυῖα στιβαροῖς ὀστέοισιν ἀρήρει,
Ὡς γόμφοις χαλκείοισι, σιδηρείοισί τε μοχλοῖς.
19 Ἐν δ' ἔργοισι Θεοῖο μάλ' ἔξοχος εὔχεται εἶναι,
Θηρσί τ' ἐν ἀγροτέροις μέγα φέρτατος· ὅς πάλαι αὐτὸν
Ἔπλασεν, ὡς ἄρα οἱ, μεγάλῃ ὡπλίσσατο ῥινῷ,
Στρεπτῇ τε, σκολιῇ τε προβοσκίδα τὴν καλέουσιν.
20 Ἀλλ' οὐκ αἰχμητής, οὔτ' ἄγριος, οὔτε δαφοινός,
Οὔρεα δ' οἱ βοτάνην ἅλις ὤπασεν, ἔνθα δὲ θῆρες
Πάντες ἅμα σκαίρουσιν ἐναντίοι, οὐδέ τις αὐτὸν
Ταρβεῖ, οὐδὲ φοβεῖται, ἐπεί κεν ἴδῃ ἐλέφαντα.
21 Ἀνδρύας ὑψικόμους σκέπας οἱ πέλει δάσκιος ὕλη,
Ἀνθόνακας καὶ ἕλος κεῖται πυκινῇ ἐνὶ λόχμῃ
Κρύβδην, ἠδέ τ' ἐν οἰαμενῇ ἕλεος μεγάλοιο·
22 Πὰρ ποταμὸν κελάδοντα, περὶ ῥοδανὸν δονακῆα,
Ἔνθα μιν ἀμφιέπουσι βαθύσκια δένδρεα μακρά,
Αἴγειρ

Proni in pulveribus mordicus prehendant terram.
Pedem in pectus imprime, ſúbque pedibus pulvere
Abſconde ſimul malas gentes hominum ſuperbientium
Ligans capite, eos autem tenebræ oculos operiant.
Tum verò ego lubens confitebor, neque inficiabor,
Quòd tua dextera tibi ſummam gloriam præbuit.
At ecce nunc elephantem ingentem, immania-membra-ha-
Certè admodum monſtrum eſt ingens, neque ſimilis (bentē,
Belluæ montanæ, ſed cacumini ſylvoſo
Excelſorum montium, aut etiam nubi opacæ.
Quem unà tecum feci, ut terræ fructum comederet.
Neque enim eſt rapax inter feras, neque prædator,
Talis licèt & tantus ſit corpore, ſed ſemper
Paſcitur in viridibus & aſperis ſaltibus,
Sicut bos armentalis in herboſo prato.
Immenſa ejus lumbis vis & fortitudo adeſt,
Imo in ventre & umbilico eſt robur.
Cauda ei tanquam cedrus, illam verò quàm celerrimè mo-
Teſticuli juncturis benè-complicatis ligati ſunt, (vit,
Nervíſque contortis & fibris revincti.
Æri quidem carne ſimilis eſt, corpore autem fulgenti fer-
Artus & membra firmis oſſibus compacta ſunt, (ro,
Veluti clavis æneis, ferreíſque vectibus.
Inter opera Dei admodum præcipuus gloriatur eſſe,
Feráſque inter agreſtes longè præſtantiſſimus: qui olim eum
Formavit, tanquam enſe, magno armavit naſo,
Verſatili, curvóque, proboſcidem quem vocant.
At non crudis-veſcens, neq; ſævus, neq; ſanguinolentus *eſt*,
Montes autem ei herbam abunde præbent, ubi feræ
Omnes ſimul ludunt oppoſitæ, nec ulla earum
Pavet, aut timet, cùm viderit elephantem.
Inter-arbores excelſas tegmen ei eſt umbroſa ſylva,
Inter-arundines & paludem jacet denſo in latibulo
Occultè, & in humido-loco paludis magnæ:
Ad fluvium ſtrepentem, rapidum, arundinoſum,
Ibi illum ambiunt umbroſæ arbores proceræ,

Αἴγειροι πτελέαι τε καὶ ἰτέαι ὠλεσίκαρποι,
Αἱ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο φύονται.
23 Πολλάκις ἐξέπιεν ποταμοὺς ἀπνευστὶ ῥοφήσας,
Καὶ ῥόον ἐξαλάπαξεν, Ἰορδάνε αἰπὰ ῥέεθρα.
Στεῦται ῥεῖα μάλα στεναρῆς γενύεσσι λαφύξειν.
24 Τοῦτον τίς κε λίνοισιν ἐϋπλέκτοισι δαμάσσαι,
Ζωγρῆσαι τ᾽ ἀναφανδὰ, διαπρό τε ῥῖνα τερῆσαι;

ΚΕΦ. μα΄.

1 Ἄλλο δέ τοι ἐρέω τέρας ἄγριον, ἱερὸν ἰχθῦν,
Ὄβριμον εἰνάλιον κῆτος, μέγα θαῦμα θαλάσσης.
(Οὐ γὰρ γαῖα μόνον τέρατα τρέφει, ἀλλὰ θάλασσα)
Ἦ σύ μιν ἐκ πόντοιο λίνῳ, καὶ ἤνοπι χαλκῷ
Ἑλκέμεναι δύνασαι, καθετόν τε βαλεῖν περὶ γλώσσῃ;
2 Γναμπτοῖς τ᾽ ἀγκίστροισιν ὅλην πολυχανδέα ῥῖνα
Τετρῆναι, πῆξαί τε μέγαν σκόλοπ᾽ ἀμφὶ γένυσιν;
3 Αὐτὰρ ὅγ᾽ εὐχωλῇσι λιτῇσί τε μειλιχίῃσι
Θέλξει ἱλασκόμενός σ᾽; ἱκέτης δέ τοι εὔξεται εἶναι,
Παρφάμενος μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν;
4 Ἦ ῥά νύ τοι ὀπίπεσα φέρων μειλίγματα θυμοῦ
Δώσει, συνθεσίας ποιήσεται, ὅρκια τέμνων,
Ὄφρα ζωγρήσας μιν ἔχοις θεράποντος ἐν αἴσῃ;
5 Ἦ ῥά νυ παίξεις μιν ἀθύρματα νηπιάχοισιν,
Ὄρνιθ᾽ ὡς λιγυρὰς δήσεις μέρμιθι φαεινῇ,
Καὶ δήσεις κούρῃσιν, ἵνα σφίσι παίγνιον εἴη;
6 Ἦ μιν ἐν εἰλαπίνῃ βρώσουσ᾽ ἑταῖρες ἑταῖροι,
Τοῖό τ᾽ ἀπὸ κρειῶν τεύξουσ᾽ ἐρικυδέα δαῖτα;
Ἤ, ἐπειὴ μέγας ἐστὶ, διαμελεϊστὶ ταμόντες
Ἰχθυοπώλῃσιν πέμψουσί μιν εἵνεκα τιμῆς;
7 Ἀμφιπεριστέψεις ῥινὸν δεινοῖο πελώρου
Ὀξέσι ἀκόντεσσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν;
Ἦ χρόα καρχαρόδοντι πολυγλώχινι σιδήρῳ
Οὐτήσεις, κεφαλήν τε τανυγλώχισι τριαίναις;

Ἀλλ᾽

Alníque ulmíque & ſalices frugiperdæ,
Quæ circa pulchra fluenta fluvii affatim naſcuntur.
Sæpe epotavit fluvios ſine-reſpiratione ſorbens,
Et fluxum evacuavit, Jordanis alta fluenta
Profitetur ſe facilè admodum ſtrenuis faucibus hauſturum.
Hunc quis retibus bene-textis domet,
Vivúmque capiat apertè, penitúſque naſum perforet?

CAP. XLI.

ALiud verò tibi dicam monſtrum ingens, egregium piſcē,
Immanem marinum cetum, magnum miraculum maris.
(Non enim terra ſolùm monſtra nutrit, ſed mare)
Túne illum ex ponto lino & ſplendido ære
Trahere potes, perpendiculúmque circunjicere linguæ?
Curvíſque hamis ejus vaſtum naſum
Terebrare, figeréque magnam ſudem circa maxillas?
Verùm is precibus ſupplicationibúſque blandis
Mulcebit placans te? ſupplex autem tibi profitebitur eſſe,
Perſuadens mollibus & placidis ſermonibus?
Nunquid tibi gratificans blandimenta *in* animo
Dabit? pacta faciet, fœdera feriens,
Ut vivum-capiens eum habeas famuli loco?
Nunquid ludos eum facies *in* inſipientia,
Avem ut canoram? ligabis fune ſplendido,
Et dabis puellis, ut iis ludicrum ſit?
Eúmne in convivio comedent jucundi ſodales,
Ejúſque de carnibus ſtruent inſignes epulas?
Vel, quoniam magnus eſt, membratim ſecantes
Salſamentariis mittent eum pro pretio?
Circumteges pellem terribilis monſtri
Acutíſque ſpiculis, & haſtis ancipitibus?
Num autem pectinato multas-cuſpides-habenti ferro
Vulnerabis, capútque aculeatis fuſcinis?

8 Ἀλλ' ἄγε, χερσὶ φίλης λίγδην ἐπιμαίεο νῶτα
Μειλιχίῃ, ἐπεὶ οὔ τι βίῃ σε δαμασσέμεν οἴω
Λάζεο, μηδὲ μάχης μιμνήσκεο, παῦε δ' ἐρωῆς.
9 Ἀργαλέος γάρ τ' ἐστὶ καὶ ἄλγιστος δαμάσασθαι,
Σμερδαλέος, βλοσυρωπὸς, ἑῷ σθένεϊ βλεμεαίνων,
Καδδὲ ᾧ ὀφθαλμοῖ πλῆξε βροτὸν, οὐδέ τις αὐτὸν
Ἔτλη ἐσάντα ἰδεῖν, τόσσος πέλεν εἰσορέασθαι.
10 Ἦ μένος οὔ τινι τόσσον ἐνὶ στήθεσσιν ὀπηδεῖ,
Ὥστέ μιν ὀρσέμεναι, οὐδ' ἢν θρασυκάρδιος ἔστι
Τολμήεις τε μάλιστα· τίς οὖν ἐμεῦ, ὅς μιν ἔταξα,
Ἀντίον ἵστασθαι τλαίη μεγαλήτορι θυμῷ;
11 Τίς φθάμενός μοι ἔδωκεν ἐναίσιμον, ὄφρα τε κείνῳ
(Ὡς θέμις) ὤντορ ἔοργε δίδοις χαρίεσσαν ἀμοιβὴν
Τίσω, ὅ, τ' ἐξ ἐμέθεν θυμῆρεα μισθὸν ἄρηται;
Πάντ' ἐμὰ πάντα γάρ ἐστιν, ὅσ' οὐρανὸς ἀμφιβέβηκεν.
12 Ἀλλ' ἔτι τοι ἐρέω κῆτος μέγα, θαῦμα θαλάσσης,
Οὐδ' ἄρα μιν κεύσω, οὔτ' ἄρ μένος, οὔτε τι γυῖα,
Οὐ κρατερὸν δέμας, οὔτε φυὴν, οὔτ' εἶδος ἀγητόν.
13 Τίς μιν πάντοθεν εἷλκε ποτὶ ξηρὸν ἠπείροιο,
Ῥιγεδανόν τ' εἶδος λεπιδωτοῦ δεῖξε χιτῶνος;
Τίς δέ οἱ ἐγχριμφθεὶς περὶ διχθάδια βάλλε χαλινούς;
14 Τίς σκόλοπας κατέπηξεν ἐνὶ γναμπτῇσι γένυσσιν,
Καὶ ἐνὶ γαμφηλῇς; αἱ δ' ὠΐγνυντο πύλαι ὡς
Δικλίδες. ὑψηλαί τε, μυχὸν δ' ἄρα χάσματι δεινῷ
Σμερδαλέοι γναθμοὶ, φρικτοὶ σταν δ' ἀμφὶς ὀδόντες
Πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
15 Χαλκείῃσιν λεπίδεσσιν ἀγάλλεται ἐμπεδοκύκλοις,
Ἠΰτε σημάντροιο χαράγμασιν εὖ ἀραρυίης·
16 Αἱ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
Ὥστε παρεσδῦμεναι μήτ' ἠέρα λεπτότατόν περ.
17 Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων
Ὡς τ' ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Ὄφρα τ' ἐνὶ πτολέμῳ πυκιναὶ κλονέοντο φάλαγγες,
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἡ δὲ χελώνη
Ἄρθη· ὣς τοῦ μὲν λεπίδες περὶ χάλκεα νῶτα

Quin agè, manibus amicis ſtrictim demulce terga
Blandè, quippe haudquaquam vi te domiturum puto.
Faceſſe, neque pugnæ memineris, deſiſte autem ab impetu.
Difficilis enim eſt, & moleſtiſſimus domitu,
Terribilis, torvus, ſuo robore ferociens,
Suo oculo conſternavit hominem; nec quis eum
Suſtinuit coràm intueri, tantus eſt viſu.
Sanè ſpiritus haud ulli tantus in pectoribus adeſt,
Ut ipſum ſuſcitet, nec ſi magnanimus ſit
Audáxque maximè· Quis ergò mihi, qui eum feci,
Reſiſtere audeat ſtrenuo animo?
Quis præveniens mihi dedit accommodum *quid*, ut illi
(Prout fas *eſt*) eorum quæ fecit dans gratã compenſationem
Solvam, ísque ex me jucundam mercedem recipiat?
Omnia enim, omnia mea ſunt, quæcunque cœlum ambit.
At ampliùs tibi deſcribam cetum magnum, miraculum ma-
Neq; eum celabo, neq; robur, neq; membra, (ris,
Non validum corpus, neque naturam, neq; formam ſpecta-
Quis eum ponto extraxit ad aridam continentis, (bilem.
Horridámque faciem ſquamoſæ oſtendit tunicæ?
Quis ei appropinquans duplex injecit frænum?
Quis palos defixit in reflexis genis,
Et in maxillis? illæ autem apertæ ſunt, januæ ceu
Bifores, ſubliméſque, panduntúrque hiatu horrendo
Terribiles fauces, formidabiles autem ſtant undique dentes
Denſi & frequentes, pleni nigræ mortis.
Æneis ſquamis exultat firmiter-rotundis
Veluti ſigilli ſculpturis bene compactis:
Hæ autem contiguæ aliæ ſuper alias funduntur, (cét.
Ut clanculum-irrepere nè aër quidem poſſit tenuiſſimus li-
Sicut autem quando murum vir coagmentavit denſis lapi-
Domûs altæ, incurſus ventorum vitans: (dibus
Utque denſatæ ſunt galeæ, & ſcuta umbones-habentia,
Quando in bello frequentes ſtrepunt phalanges,
Scutum autem ſcutum fulcit, galea galeam, teſtudo autem
Conferta eſt: ſic hujus ſquamæ circum ænea terga

Ἔπλοντ' ἀλλήλοισιν, ἔρεισε δὲ γείτονα γείτων·
Ὡς πύκα συμπεφύασι διηνεκὲς ξυνοχῇσι.
18 Ὄφρα δ' ἀπὸ ῥινῶν βαρυηχέα ῥόγχον ἔρυγε,
Λάμπετο πῦρ, δεινὸν δὲ σέλας μαρμαῖρε φαάνθη,
Ὄσσε δ' οἱ ἀστράπτοντ' ἠοῦς βλεφάροισιν ἐϊκτήν.
19 Ἐκ στόματος δαΐδές τε καὶ ἀσβέστη κέχυτο φλὸξ
Ἤλιθα, τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἴενται.
20 Ὡς δ' ὅτ' ἀπὸ τρίποδος καπνὸς ῥέεν, ἠὲ λέβητος,
Ὅς τε μάλα ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ κηλέῳ,
Κνίσην μελδόμενος, τάχα δ' οὐρανὸν ἷκεν ἀϋτμή·
Ὡς οἱ ἀπὸ ῥινῶν καπνὸς ῥέε δεινὸν ἀέντι.
21 Ἂν στόμα τε ῥινάς τε πυριπνόος ἆλτο κάμινος,
Ἀμφὶ δὲ κήκιε φλὸξ, δαλὸς δέ τε πολλὺς ἀνῆπται.
22 Αὐχένι δὲ στιβαρῷ ἀμφ' ἄσπετος ἷζανε κῖκυς.
Πένθος οἱ ἐς χάρμα τέτραπται. θρώσκει δ' ἀνὰ κῦμα
Ἀφειδῶν, σκιρτᾷ δὲ μέσῳ ἐνὶ εὐρέϊ πόντῳ.
23 Ἄρρηκτοι ἄλυτοι σαρκῶν πτύχες ἀμφὶ μέλεσσι,
Καὶ δέμας ἦυ ἄραρε, στυφρὸς δ' ἀναδέδρομε κόλλοψ
Στέρνον ἐπὶ στιβαρὸν, παγχάλκεον, ἀσφαλὲς αἰεί.
24 Αὐτοῦ δὲ κραδίη στερεωτέρη ἐστὶ λίθοιο,
Εὖτε μύλαξ ἀτέραμνος ἐαὶ φρένες ἀμφιμέλαιναι.
25 Εἴσατο δ' ἠΰτε πύργος ὑπεὶρ ἁλός· ὄφρα δ' ἀνέστη,
Σμερδαλέος τ' ἐφάνη, τρομέουσιν ἄφαρ φρένα ναῦται
Δειδιότες, πυκνὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται,
Καὶ κρατεροί περ ἐόντες, ἐπεὶ ἴδον ὄμβριμον ἰχθῦν,
Σφέας τ' αὐτοὺς ἐκάθηραν, ἐπεὶ τά μεν ἁλμυρὸν ὕδωρ,
Κύματά τε ῥοθόεντα διέχισε κῆτος ἄλαστον.
26 Εἴ τις μιν ξίφεϊ πλῆξεν δέμας, οὐ προὔνησεν,
Οὐδ' ἔρρηξεν ῥινόν· ἀνεγνάμφθη δέ τ' ἀκωκή.
Εἰ δὲ βέλος προέηκεν, ἐτώσιον ἔκφυγε χειρός,
Αἰχμαὶ χάλκειαι, δολίχ' ἔγχεα, δοῦρατ', ἄκοντες
Ἐν χροῒ ἐρράισθεν, πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός.
27 Ὡς ἴκελον καλάμῃ οἱ αἴθωνα σίδηρον,
Ὡς ξύλον ἀζαλέον δοκέει οἱ χαλκὸς ἀτειρής.
28 Οὐ τρεῖ, οὐδὲ φοβεῖται ἀπὸ πτερόεντος ὀϊστοῦ·
Οἷαι δ' ἄχναι εἰσὶν εὐτροχάλους κατ' ἀλωάς,

Ἀς

Adhærent ſibi invicem, fulcit autem vicinam vicina;
Adeò denſè compactæ ſunt continuâ juncturâ.
Cùm verò à naribus graviter ſonantem rhonchum eructat,
Micat ignis, terribilis autem fulgor ſternutationis apparet,
Oculi verò ejus ſcintillantes auroræ palpebris ſunt ſimiles.
Ex ore faces & inextinguibilis funditur flamma
Paſſim, unde & multæ ſcintillæ emicant.
Sicut autem quando ab olla fumus fluit, aut lebete,
Qui valde fervet intus dum urgetur igne ardenti,
Arvinam liquefaciens, mox autem *ad* cœlum pervenit vapor:
Sic ei à naribus fumus profluit gravè ſpiranti.
Circa os & nares ignivomus ſalit caminus,
Undique verò procedit flamma, torriſque multus accenditur.
Cervicem autem rigidam immenſum circunſtipat robur.
Luctus ei in gaudium vertitur, ſaltat autem in fluctu
Spumans, luditque medio in lato ponto. (bra,
Infrangibiles, inſolubiles *ſunt* carniũ plicaturę circa mem-
Et corpus bene compactum eſt, ſolidus autem decurrit callus
Pectus per robuſtum, æneum, firmum ſemper.
Ejus enim cor firmius eſt lapide,
Veluti molaris durus ejus præcordia nigra.
Videtur autem ſicut turris ſuper mari; quando .a. exurgit,
Terribiliſque apparet, trepidant extemplo animis nautæ
Timentes, paululùm enim à morte diſtant,
Quantumvis fortes ſint, cùm viderint immanem piſcem,
Séque ipſos purgant, poſtquam ſecuit ſalſam aquam,
Fluctúſque conglobatos ſcidit cetus immanis.
Siquis eum enſe feriat *in* corpore, non penetrat,
Neque perrumpit pellem; recurvatur autem mucro.
Sin verò telum mittit, irritum evolat è manu;
Cuſpides æreæ, oblongæ lanceæ, haſtæ, ſpicula
In cute diſperduntur, reſilit autem ab ære æs.
Quaſi ſimile ſtipulæ cenſet micans ferrum,
Velut lignum aridum videtur ei æs ſolidum.
Non tremit, neque timet ab alata ſagitta:
Quales autem paleæ ſunt rotundis in horreis,

Ἅς τ' ἄνεμος φορέει καὶ λικμητῆρος ἐρωή.
Τοῖοί οἱ δοκέουσι λίθοι, οὓς σφενδόνῃ αἰνῇ
Ἧκεν ἀκοντίζων, μελέη δέ οἱ εἴσατο ὁρμή.
29 Ἰὼν οὐκ ἀλέγιζε, θοοὺς δ' ἀθέριζεν ἄκοντας,
Τοὺς δ' ἴσους ἀχύρησιν ὀΐεται, ἢ ἀθέρεσσιν,
Οὕς δέ τ' ἀπὸ πλατέος πτυόφι σκέδασ' ἲς ἀνέμοιο.
Εἰ δέ τις ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Αὐτὰρ ὁ καγχαλόων ἐγελοίασεν ἀνδρὸς ἐρωήν.
30 Νέρθεν ἐρηρέδαται πάγοι ὀξέες, ἀμφὶ δὲ πέτραι
Καὶ σκόπελοι καὶ λᾶες ἀκαχμένοι ὀκριόεντες,
Τοὺς ὑπὸ ἰλυόφι στόρεσεν, λέχος ὡς ἐνὶ πόντῳ
Εὐρεῖ, τοῖς ἔπι κεῖτο μέγας μεγαλωστὶ τανυσθείς.
31 Ὡς δ' ὅτε ζέεσεν ὕδωρ μέσσῳ ἐνὶ ἤνοπι χαλκῷ
Πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
Γάστρην δὲ τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
Ὥς τε λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ,
Μύρου ἀναβλύζων καὶ ἀλείφατος ἐννεώροιο·
Ὣς τοῦ νηχομένοιο κυκώμενον ὑψόσε θῦε
Κῦμα πολυφλοίσβοιο ἁλὸς, πάφλαζε δὲ πόντος
Ἀφρῷ μορμύρων, ἀνὰ δ' ἔβλυεν ἁλμυρὸν ὕδωρ,
Ὕψι δὲ κορθύετο, ζέε δ' ἄγριον οἶδμα θαλάσσης.
32 Ὃς δ' ἴεν, αὐτὰρ ὄπισθε φαληριάα μέγα λαῖτμα,
Τῷ καὶ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δὲ κῦμα
Κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην,
Ἀφριόεσσα δὲ φαίνεθ' ἁλὸς πολιοῖο κέλευθος,
Φαίης κέν σε κάρη πολιοκροτάφοιο γέροντος
Λευκανέμεν, ἠὲ γαλακτίχροον καὶ ἐν ὕδασι κύκλον.
33 Οὔτι κροκόδυλον ἦθελ' ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Οὔθ' ἁλὸς ἐν βένθεσσιν ὁμοιωθήμεναι αὐτῷ.
Οὐ δέμας, οὔτε φυήν, οὔτ' ἄρ μένος, οὔτε τι εἶδος·
Ὡς οἱ θαρσαλέον πέλει τ' ἄτρομον ἐν φρεσὶν ἦτορ.
34 Κάρτεϊ τε σθένεϊ τε μέγα φρονέων ἀνόρουσε,
Πάντα δ' ὀπιπτεύεσκε μετήορα, ἐν δ' ἀγερώχοις
Φησὶν ἀναξέμεναι, μέγα τ' ἔξοχος ἐνὶ πελώροις.

ΚΕΦ. μβʹ.

Quas ventus fert, & ventilatoris impetus:
Tales ei videntur lapides, quos fundâ vir
Mittit ejaculans, inanis verò ei viſus eſt impetus.
Miſſilia non curat, velocia contemnit ſpicula,
Ea autem æqualia paleis exiſtimat, aut ſpicis-abjectis,
Quas à lato ventilabro diſpergit vis venti.
Quòd ſiquis vibrans emittit longam lanceam,
Verùm is cachinnans deridet viri impetum.
Subtus fixa ſunt ſaxa acuta, circùm verò cautes
Et ſcopuli & lapides, acuti, aſperi,
Quos ſuper lutum ſtravit, velut lectum in ponto
Lato, ſuper quos jacet magnus latè porrectus.
Quemadmodum autem cùm fervet aqua medio in nitido (ære
Undique ebulliens, ſubtèr verò ligna arida jacent;
Alvum quidem ollæ ignis ambit, caleſitque aqua;
Utque lebes fervet intus dum urgetur igne multo,
Unguento ebulliens, & oleo novennali:
Sic eo natante turbatus ſurſum cum impetu ruit
Fluctus multiſoni maris, æſtuat autem pontus
Spumâ murmurans, ebullit autem ſalſa unda,
Surſum verò glomeratur, fervet autem ſævus tumor maris.
Is autem vadit, verùm ponè albicat magnum profundum,
Eo etiam diſruptum vehementer fremit, circà autem fluctus
Curvati eriguntur, expuunt autem ſalis aſperginem,
Spumea autem apparet maris cani ſemita,
Putares te caput cani ſenis
Videre, aut lacteum vel in undis circulum.
Nulla bellua velit in terra alma,
Nec maris in profundo comparari cum illo,
Nec corpore, nec naturâ, nec robore, nec ſpecie:
Adeò ei animoſum valdéque intrepidum in pectore cor.
Viribúſque roboréque ſuperbiens inſurgit,
Omniáque aſpicit ſublimia, inter ſuperbos
Putat ſe regem eſſe, longéque præcipuum in monſtris.

CAP.

Ἄς τ' ἄνεμος φορέει καὶ λικμητῆρος ἐρωή.
Τοῖοί οἱ δοκέουσι λίθοι, οὓς σφενδόνῃ ἀνήρ
Ἧκεν ἀκοντίζων, μελέη δέ οἱ εἴσατο ὁρμή.
29 Ἰὼν οὐκ ἀλέγιζε, θοοὺς δ' ἀθέριζεν ἄκοντας,
Τοὺς δ' ἴσους ἀχύροισιν ὀΐεται, ἢ ἀθέρεσσιν,
Οὓς δέ τ' ἀπὸ πλατέος πτυόφι σκέδασ' ἐς ἀνέμοια.
Εἰ δέ τις ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Αὐτὰρ ὁ καγχαλόων ἐγελοίασεν ἀνδρὸς ἐρωήν.
30 Νέρθεν ἐρηρέδαται πάγοι ὀξέες, ἀμφὶ δὲ πέτραι
Καὶ σκόπελοι καὶ λᾶες ἀκαχμένοι ὀκριόεντες,
Τοὺς ὑπὸ ἰλυόφι στόρεσεν, λέχος ὡς ἐνὶ πόντῳ
Εὐρεῖ, τοῖς ἔπι κεῖτο μέγας μεγαλωστὶ τανυσθείς.
31 Ὡς δ' ὅτε ζέσσεν ὕδωρ μέσσῳ ἐνὶ ἤνοπι χαλκῷ
Πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
Γάστρην δὲ τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
Ὥς τε λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ,
Μύρου ἀναβλύζων καὶ ἀλείφατος ἐννεώροιο·
Ὣς τοῦ νηχομένοιο κυκώμενον ὑψόσε θῦε
Κῦμα πολυφλοίσβοιο ἁλός, πάφλαζε δὲ πόντος
Ἀφρῷ μορμύρων, ἀνὰ δ' ἔφλυεν ἁλμυρὸν ὕδωρ,
Ὕψι δὲ κορθύετο, ζέε δ' ἄγριον οἶδμα θαλάσσης.
32 Ὃς δ' ἴεν, αὐτὰρ ὄπισθε φαλήρια μέγα λαῖτμα,
Τῷ καὶ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δὲ κῦμα
Κυρτὸν ἐὸν κορυφοῦται, ἀποπλύει δ' ἁλὸς ἄχνην,
Ἀφρέουσα δὲ φαίνεθ' ἁλὸς πολιοῖο κέλευθος,
Φαίης κέν σε κάρη πολιοκροτάφοιο γέροντος
Λευκαίμεν, ἠὲ γαλακτίχροον καὶ ἐν ὕδασι κύκλον.
33 Οὔτι κνώδαλον ἦθεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Οὔθ' ἁλὸς ἐν βένθεσσιν ὁμοιωθήμεναι αὐτῷ.
Οὐ δέμας, οὔτε φυήν, οὔτ' ἄρ μένος, οὔτέ τι εἶδος·
Ὣς οἱ θαρσαλέον πέλει τ' ἄτρομον ἐν φρεσὶν ἦτορ.
34 Κάρτεϊ τε σθένεϊ τε μέγα φρονέων ἀνόρουσε,
Πάντα δ' ὀπιπτεύσασκε μετήορα, ἐν δ' ἀγεραύχοις
Φησὶν ἄναξ ἔμεναι, μέγα τ' ἔξοχος ἐνὶ πελώροις.

ΚΕΦ. μβ'.

Quas ventus fert, & ventilatoris impetus:
Tales ei videntur lapides, quos fundâ vir
Mittit ejaculans, inanis verò ei viſus eſt impetus.
Miſſilia non curat, velocia contemnit ſpicula,
Ea autem æqualia paleis exiſtimat, aut ſpicis-abjectis,
Quas a lato ventilabro diſpergit vis venti.
Quòd ſiquis vibrans emittit longam lanceam,
Verùm is cachinnans deridet viri impetum.
Subtus fixa ſunt ſaxa acuta, circùm verò cautes
Et ſcopuli & lapides, acuti, aſperi,
Quos ſuper lutum ſtravit, velut lectum in ponto
Lato, ſuper quos jacet magnus latè porrectus.
Quemadmodum autem cùm fervet aqua medio in nitido (ære
Undique ebulliens, ſubtèr verò ligna arida jacent;
Alvum quidem ollæ ignis ambit, caleſitque aqua;
Utque lebes fervet intus dum urgetur igne multo,
Unguento ebulliens, & oleo novennali:
Sic eo natante turbatus ſurſum cum impetu ruit
Fluctus multiſoni maris, æſtuat autem pontus
Spumâ murmurans, ebullit autem ſalſa unda,
Surſum verò glomeratur, fervet autem ſævus tumor maris.
Is autem vadit, verùm ponè albicat magnum profundum,
Eo etiam diſruptum vehementer fremit, circà autem fluctus
Curvati eriguntur, expuunt autem ſalis aſperginem,
Spumea autem apparet maris cani ſemita,
Putares te caput cani ſenis
Videre, aut lacteum vel in undis circulum.
Nulla bellua velit in terra alma,
Nec maris in profundo comparari cum illo,
Nec corpore, nec naturâ, nec robore, nec ſpecie:
Adeò ei animoſum valdéque intrepidum in pectore cor.
Viribúſque roboréque ſuperbiens inſurgit,
Omniáque aſpicit ſublimia, inter ſuperbos
Putat ſe regem eſſe, longéque præcipuum in monſtris.

CAP.

ΚΕΦ. μβ'.

1 Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ἰώβος,
Ἦτορ ἀναγνάμψας, θεοπειθέα δ' ἴαχε φωνήν·
2 Οἶδ' ὅτι καρτερός εἶ, δύνασαι δὲ τὰ πάντα τελέσσαι,
(Πάντῃ γὰρ σέο θαύματ' ἀνὰ τραφερήν τε καὶ ὑγρήν)
Οὐδέ τις ἐν θνητοῖσι τεὴν ἀλίωσε μενοινήν.
3 Τίς ῥ' ὅγε κλέψας μῆτιν ἀϊδρείῃσι νόοιο,
Νήπιος (ὣς γὰρ ἔφησθα) καὶ οὐ φρεσὶν ἄρτια εἰδώς;
Ἀασάμην μὲν ἔγωγε, καὶ οὐ κατὰ μοῖραν ἔειπον
Πόλλ' ἔπεά τε καὶ οὐκί, πάθος δέ τι καὶ τὰ κάλαδα,
Νηπιέῃ τ' ἀλεγεινῇ, ἅτ' οὐκ ᾔδειν, οὐδ' ἐνόησα,
Θαύματα πόλλ' ἄρρητα· σὺ γὰρ Θεὸς ἀγκυλομήτης,
Οὐδέ κέ τις θνητῶν σέο δήνεα εἰρύσαιτο.
Αὐτὰρ, Ἄναξ, ἐλέαιρε, ἔπος δ' εἴ πέρ τι βέβακται
Δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
4 Γουνοῦμαί σε, Πάτερ, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Καὶ νῦν μοι μάλα πᾶσαν ἀληθείην κατάλεξον,
Σεῖο γὰρ μήδεα πυκνὰ δίδασκέ με, ὄφρα δαείω,
Μύθων τε ῥητὴρ πέλε μοι, πρηκτὴρ δέ τε ἔργων.
5 Πευθανόμην τὸ πάρος γε, καὶ ἔκλυον οὔασι φήμης,
Νῦν δέ σε ἀντικρὺ καὶ ἐν ὀφθαλμοῖσιν ὄπωπα.
Οἶδ' ἀρετὴν θεὸς ἐσσί· σέβας μ' ἔχει εἰσορόωντα.
6 Τῷ μ' ἐγὼ ἀφραδέοντα κατέστυγον (οἷον ἔοργα
Νήπιος;) ὡς αἴσχιστον ἐν ἀνθρώποισιν ἐόντα.
Ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,
Τοὔνεκα ἐν κονίῃ εἰλυμένος ἠδ' ἐνὶ τέφρῃ
Προπροκυλινδόμενος σέ τε νῦν σέ τε γούναθ' ἱκάνω,
Ἄτην μὲν κλαίων· σὺ δὲ ἵλαον ἔνθεο θυμόν.
7 Ὣς φάτο δακρυχέων· οἶκτος δ' ἕλε Παμβασιλῆα.
Οἱ δ' ἐπεὶ οὖν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Ὀχθήσας δὲ Θεὸς προσέφη Ἐλιφᾶ Θαιμανίτην,
(Αἰνὸς γὰρ χόλος εἷλεν) ὁμοκλήσασκέ τε μύθῳ,
Ὦ πόποι, ἦ μάλ' ἐγὼ ἅμα σοὶ καὶ σοῖς ἑτάροισι

Μηνίω

CAP. XLII.

ILli autem reſpondit deinde patiens divinus Jobus,
Cor reflectens, piámque edidit vocem;
Novi quòd fortis es, potéſque omnia perficere,
(Ubique enim tua miracula terrâque maríque)
Nec quis inter mortales tuam fruſtravit ſententiam.
Quis hic *eſt* qui occultat conſilium imperitiâ mentis,
Stolidus (ſic enim dixiſti) & non in animo ſana ſciens?
Peccavi ſanè ego, & non rectè dixi
Multa vera, & non, paſſio verò & iſta juſſit,
Infantiáque miſeranda, quæque non novi, neque intellexi,
Miracula multa arcana: tu enim Deus obliqua-conſilia-agi-
Nec quis mortalium tua conſilia eruat. (tans,
At, O Rex, miſereſce, verbum verò ſi aliquod dictum eſt
Grave, ſtatim illud ferant abripientes procellæ.
Obſecro te, Pater, tu verò attende, & me audi,
Et nunc mihi prorſus omnem veritatem narra,
Tua autem conſilia prudentia edoce me, ut ſciam,
Dicendíque præceptor ſis mihi, actórque rerum.
Audivi antea, & percepi auribus famam,
Jam verò te coràm & in oculis vidi.
Novi virtute qualis ſis: veneratio me tenet aſpicientem.
Quamobrem memet ego delirantem abhorreo (quale dixi
Inſipiens!) velut turpiſſimum inter homines exiſtentem.
Sed quoniam peccavi animo perdito obtemperans,
Ideo in pulvere obtectus & in cinere
Pronus-provolutus *ad* te nunc tuáque genua accedo,
Culpam meam deflens; tu autem propitium ſume animum.
Sic fatur lacrymans: miſericordia autem cepit Regem.
Hi autem poſtquam talia inter ſe invicem collocuti fuerant,
Iratus Deus affatur Elipham Thamaniten,
(Gravis enim ira eum cepit) objurgavítque dicto,
Papæ! certè valde ego pariter tibi & tuis ſodalibus

Succenſeq

Μηνίω ἀπερχὲς κεχολωμένος οἷον ἔφασθε
Σχέτλιοι· ὡς παίδεσσιν ἐοικότες ἠγοράασθε
Νηπιάχοις, οἷς οὔ τι νόος φρεσίν· οὐδὲ κατ' αἶσαν,
Ὡς θεράπων μου Ἴωβος, ἐμεῦ πέρι μυθήσασθε.
Ὁππότ' ἀνὴρ ἐθέλει πρὸς Δαίμονα φωτὶ μάχεσθαι,
Ὅν τε Θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
8 Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον,
Καὶ λάβετ' ἐξ ἀγέλης ἑπτ' εἰλίποδας ἕλικας βοῦς
Ὅττι τάχιστα, καὶ ἑπτ' ἀρνειοὺς πηγεσιμάλλους.
Βάσκετ' ἴτε πρὸς Ἴωβον, ἵν' ὑμετέρης ἕνεκ' ἄτης
Ἔρδοιθ' ἱερὰ καλὰ πολυκνίσσων ἐπὶ βωμῶν,
Καὶ θεράπων μου Ἴωβος ἐναίσιμον εὐχετόωτο,
Εἴ πως ἵλαος ὔμμιν ἔω· κεχαρισμένα δ' αὐτὸς
Αἰεὶ δῶρα δίδωσιν ἐμοὶ, νῦν τ' οἶδ' ὅτι δώσει.
Τὸν περὶ κῆρι φίλησα, περὶ δέ με ἔξοχος ἄλλων
Ὅς γὰρ ἐμοὶ ἐπιπείθεται, μάλα τ' ἔκλυον αὐτοῦ·
Ἄλλως γ' αὖ ὑμέας τάχ' ἐπαυρήσεσθαι ὀΐω,
Οὕνεκα οὐκ εἰσὶ φρένες ἔμπεδοι, οὐδὲ κατ' αἶσαν,
Ὡς θεράπων μου Ἴωβος, ἐμεῦ πέρι μυθήσασθε.
9 Ὣς ἔφατ'· οὐδ' ἀπίθησε Θεῷ Ἐλιφᾶς Θαιμανίτης,
Οὐδέ τε Σαυχαῖος Βελδὰδ, Σωφάρ τε Μιναῖος·
Ἀλλ' οἱ μὲν θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι
Λοιβῇ τε κνίσσῃ τε παρατρωπῶντες ἔθελγον
Ἀθανάτοιο μένος· τότε δὴ Θεῷ εὔχετ' Ἴωβος,
Θεῷ μέν τ' εὔχετ' Ἴωβος, ὁ δ' ἔκλυεν εὐχομένοιο,
Μᾶλλόν μίν τ' ἐφίλησε, καί οἱ χάριν ἐγγυάλιξεν.
10 Ὣς ὁ μὲν ἀμφὶ φίλων ἠρᾶτο· Θεὸς δέ οἱ αἰνῆς
Δέσματ' ἔλυσε δύης, καὶ δὶς τόσον ὄλβον ὄπασσεν,
Ὅσσον τὸ πρὶν ἔχεσκε, πόρεν δέ οἱ ἄλλοθεν ἄλλα.
11 Αὐτόματοι δ' οἱ πάντες ὁμιλαδὸν ἦλθον ἀδελφοὶ
Πᾶσαί τ' αὐτοκασίγνηται, πηοί τε, ἔται τε,
Οἵ θ' οἱ κεδνότατοι τὸ πρὶν καὶ φίλτατοι ἦσαν,
Αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρῆσαν
Αὐτοῦ ἐνὶ μεγάροισι, παραιφασίῃσι δ' ἔθελγον
Ὃν νόον, αἱμυλίοισί τε λόγοις ἄχος ἐξακέσαντο,
Καὶ παραμυθήσαντο, καὶ ἔστερον οἷα πέπονθεν,

Οἱ

Succenſeo acriter iratus, quale dixiſtis
Improbi: adeò pueris ſimiles locuti eſtis
Infantibus, quibus non eſt mens in pectore: neque rectè,
Sicut ſervus meus Jobus, de me verba- feciſtis.
Quoties homo vult adverſus Deum cum viro pugnare,
Quem Deus honorat, ſtatim in eum magnum damnum de-
At parete & vos, quandoquidē parere *eſt* melius, (volvitur.
Et ſumite ex armento ſeptem flexipedes greſſum-ſinuantes
Quàm citiſſimè, & ſeptem arietes villoſos. (boves
Vadite agitè ad Jobum, ut veſtræ gratiâ culpæ
Offeratis victimas pulchras ſuper multo-nidore-abundantes
Et ſervus meus Jobus bono-auſpicio oret, (aras,
Si fortè propitius vobis ſim: grata autem ipſe
Semper dona dat mihi, jámque ſcio quòd dabit.
Quem ex corde diligo, honorat verò me maximè omnium:
Qui enim mihi obtemperaverit, valde exaudio illum,
Alioqui ſanè vos ſtatim luituros arbitror,
Quoniam non eſt mens *vobis* ſana, neque rectè,
Sicut ſervus meus Jobus, de me eſtis locuti. (nites,
Sic dixit; neq; non-obtemperavit Deo Eliphas Thama-
Necnon Sauchæus Bildad, Sophárque Minæus:
Verùm hi ſacrificiis & votis placidis,
Libaminéque, nidoréque flectentes mulcebant
Immortalis animum. tum etiam Deum precatus eſt Jobus,
Deum precatus eſt Jobus, is autem audivit precantem,
Magíſque ipſum dilexit, & ei gratiam præbuit.
Ità hic pro amicis oravit, Deus autem gravis
Vincula ſolvit calamitatis, & bis tot facultates dedit,
Quot priùs habebat, præbuítque ei alicunde alia.
Ultro autem ei omnes catervatim venerunt fratres,
Omnéſque ſorores, affinéſque, amicíque,
Quíque ei chariſſimi antea & amiciſſimi erant,
Semper autem in conviviis & feſtis aderant
Ejus in domo, adhortationibúſque demulcebant
Ejus animum, blandíſque verbis dolorem ſedabant,
Et conſolabantur, & plorabant qualia paſſus fuerat,

Οἷά τ' ὀϊζύσασκε Θεοῦ ἰότητι μογήσας,
(Ἔτλη δ' οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος)
Ἀργύρεον δ' αὐτῷ καὶ χρύσεον ὄβριμον ἔδωκαν
Ἀνδρακὰς, ἀγλαὰ δῶρα, κακῆς παραμύθιον ἄτης.
12 Ὡς μὲν Ἴωβος ἔπειτα μακάρτερος ἢ τὸ πάρος περ,
Δὶς τόσον ἀφνειὸς, καὶ δὶς τόσον ὀλβιοδαίμων,
Ὅσσον ἔην τὰ πρῶτα, Θεοῦ μεγάλοιο ἕκητι.
Ἦ γάρ οἱ ἦν μετόπισθε δὶς ἑπτηχίλια μῆλα
Πίονα καὶ δασύμαλλα, καὶ ὑψίλοφοί τε κάμηλοι
Δὶς τρισχίλιαι αὐτῷ ἐν οὔρεσι βουκολέοντο
Θήλειαι τοκάδες, (τὰ γὰρ διπλόα πάντα τέτυκτο)
Δὶς δὲ βοῶν πεντακόσια ζυγὰ εὐρυμετώπων,
Καὶ δὶς ὄνοι πεντακόσιαι, καὶ πάμματα πλεῖα.
13 Εἶτα δέ οἱ δέκα παῖδες ἐνὶ μεγάροις γεγάασιν
Ἑπτὰ μὲν υἷες ἔσαν, τρεῖς ἠΰκομοι δὲ θύγατρες.
14 Τάων μὲν ῥ' ἐκαλεῖτο περικλυτὸς Ἰεμιμαία
Πρώτη, δευτέρη αὖ ἦν Κεζίη ἱμερόεσσα,
Καὶ τριτάτη ὄνομ' ἦεν ἐϋπλόκαμος Κερεναππύκ.
15 Κάλλεϊ δ' αὖ χαρίεσσίν τε κεκασμέναι εἰνὶ γυναιξὶν
Ἔστιλβον, καὶ ῥεῖα μετέπρεπον ἀγρομένῃσιν.
Οὐδὲ περικλιόνων τις ἂν ἤθελε παρθενικάων
Θυγατέρεσσιν Ἰώβου ἐπήρατον εἶδος ἐρίζειν.
Τῇσι πατὴρ ἅμ' ὅπασσε μετὰ σφετέροισιν ἀδελφοῖς
Μοῖραν δασσάμενος, καὶ μυρία δῶκεν ἔεδνα.
16 Αὐτὰρ Ἴωβος ἔπειθ' ἑκατὸν καὶ τεσσαράκοντα
Ζωὸς καὶ σόος εἶδε περιπλομένους ἐνιαυτοὺς
Πολλῇ ἐν ἀγλαΐῃφι, καὶ ἀμφιθαλεῖς ἴδε παῖδας
Καὶ παῖδας παίδων ἐς τέσσαρας ἄχρι γενέθλας.
17 Ὡς ὁ μὲν ἀσπασίην ἵκεν βιότοιο τελευτὴν,
Ὀψέ τ' ἀποθνήσκων, καὶ ἐν ἄκρῳ γήραος οὐδῷ.

ΤΕΛΟΣ.

Qualiáq; ærumnoſè-tulerat Dei voluntate afflictus, (alius)
(Toleravit autem qualia haudquaquam quis terrenus homo
Argenteum verò nummum ei & aureum monile dederunt
Singuli, ſplendida dona, mali ſolatium damni.
Ità Jobus poſtea felicior quàm antea,
Duplo ditior, & duplo fortunatior,
Quàm erat primùm, Dei magni voluntate.
Certè enim ei erant deinceps bis ſepties-mille oves
Pingues & villoſæ, & elata-colla-habentes cameli
Bis ter-mille ei in montibus paſcebantur
Fœminæ fœtæ, (duplicia autem omnia facta erant)
Bis autem boum quingenta juga latas-frontes-habentium,
Et bis aſinæ quingentæ, & poſſeſſiones plures.
Deinde verò ei decem liberi in ædibus nati ſunt;
Septem quidem filii erant, tres autem bene-comatæ filiæ.
Quarum vocabatur inſignis Jemimæa
Prima, ſecunda erat Cezia amabilis,
Et tertiæ nomen erat pulchrè-comata Cerenappuk.
Pulchritudine autem hæ gratiíſq; ornatæ inter mulieres
Splendebant & facilè excellebant congregatas.
Neque finitimarum aliqua velit virginum
Cum filiabus Jobi amabili formâ contendere.
Quibus pater unà exhibuit cum ſuis fratribus
Sortem partitus, & innumeras dedit dotes.
Verùm Jobus poſthac centum & quadraginta
Vivens & valens videt circumvolventes annos
Multo in ſplendore, & utroque-parente-florentes filios,
Et filios filiorum, ad quatuor uſque generationes.
Ità hic *ad* gratum pervenit vitæ terminum,
Seróque moriens, & in extremo ſenectutis limine.

FINIS,